BIBLIOTHECA
RIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

LORILEGIVM GRAECVM

IN VSVM PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS VII

EXEMPLAR ITERATVM

MCMVII
LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI

FLORILEGIVM GRAECVM

IN VSVM PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS VII

EXEMPLAR ITERATVM

MCMVII

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

Quas paucas minutias mutavimus, vix quemquam legentem et cum superiore editione conparantem offendent.

LIPSIAE: TYPIS B. G. TEVBNERI

ATHENAEVS

Naucrati natus, saeculo altero exeunte, ineunte tertio vitam degit Alexandriae, postea Romae. scripsit *δειπνοσοφιστῶν* libros XV, quibus dialogis inter se colloquentes facit XXIX viros doctos et artifices de rebus veterum ad vitam et domesticam et socialem pertinentibus domi Larensis, in eis Galenum et Vlpianum.

I. Περὶ τοῦ τῶν ἡρώων καθ' Ὅμηρον βίου.

(I c. 15—29.)

Ὅμηρος ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν 1
οὖσαν τοῖς νέοις καὶ πρώτην, ἔτι δὲ ἁρμόττουσαν καὶ
πάντων τῶν καλῶν χορηγὸν οὖσαν, βουλόμενος ἐμφῦσαι
πάλιν αὐτὴν ἀπ' ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν
καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι καὶ
ὦσιν εὐεργετικοὶ καὶ κοινωνικοὶ πρὸς ἀλλήλους, εὐτελῆ
κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος
τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι
καὶ πρώτας ἔτι τε καὶ ἐμφύτους τὰς περὶ ἐδωδὴν καὶ
πόσιν, τοὺς δὲ διαμεμενηκότας ἐν εὐτελείᾳ εὐτάκτους
καὶ περὶ τὸν ἄλλον βίον γίνεσθαι ἐγκρατεῖς. ἁπλῆν 2
οὖν ἀποδέδωκε τὴν δίαιταν πᾶσι καὶ τὴν αὐτὴν ὁμοίως
βασιλεῦσιν ἰδιώταις, νέοις πρεσβύταις, λέγων·

'παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν, α 138.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα.
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας' α 141.

καὶ τούτων ὀπτῶν καὶ ὡς ἐπὶ τὸ πολὺ βοείων· παρὰ
δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτ' ἐν γάμοις οὔτ' ἐν ἄλλῃ
συνόδῳ παρατίθησιν οὐδέν, καίτοι πολλάκις τὸν Ἀγα-
μέμνονα ποιήσας δειπνίζοντα τοὺς ἀρίστους· καὶ οὐ
θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς βα-
σιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλ' ἀφ' ὧν
3 εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. Αἴαντα οὖν
Η 321. μετὰ τὴν μονομαχίαν 'νώτοισι γέραιρεν' ὁ Ἀγαμέμνων·
γ 33. Ι 215. καὶ Νέστορι δ' ἤδη ὄντι γηραιῷ καὶ Φοίνικι κρέας ὀπτὸν
δίδωσιν, ἀφιστῶν ἡμᾶς τῶν ἀτάκτων ἐπιθυμιῶν. καὶ
Ἀλκίνους δὲ ὁ τὸν τρυφερὸν ᾑρημένος βίον τοὺς τρυ-
φερωτάτους ἑστιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων,
ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς
οἰκίας καὶ τὸν αὐτοῦ βίον, τοιαύτας παρατίθεται τρα-
4 πέζας. καὶ Μενέλαος δὲ τοὺς τῶν παίδων γάμους ποιού-
μενος καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου

δ 65. 'νῶτα βοὸς παρέθηκεν
ὄπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.'

γ 421. καὶ Νέστωρ δὲ βόας θύει Ποσειδῶνι παρὰ τῇ θαλάσσῃ
διὰ τῶν φιλτάτων καὶ οἰκειοτάτων τέκνων, βασιλεὺς
ὢν καὶ πολλοὺς ἔχων ὑπηκόους. ὁσιωτέρα γὰρ αὕτη
ἡ θυσία θεοῖς καὶ προσφιλεστέρα ἡ διὰ τῶν οἰκείων
καὶ εὐνουστάτων ἀνδρῶν. καὶ τοὺς μνηστῆρας δὲ ὑβρι-
στὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμένους οὔτε ἰχθῦς
5 ἐσθίοντας ποιεῖ οὔτε ὄρνιθας οὔτε μελίπηκτα. Ἑλλήσ-
Ι 360. ποντον δὲ Ὅμηρος ἰχθυόεντα προσαγορεύων καὶ τοὺς
Φαίακας πλωτικωτάτους ποιῶν καὶ ἐν τῇ Ἰθάκῃ εἰδὼς
λιμένας πλείους καὶ νήσους προσεχεῖς πολλάς, ἐν αἷς
ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ὀρνίθων, καὶ εἰς
εὐδαιμονίαν δὲ καταριθμῶν τὸ τὴν θάλασσαν ἰχθῦς
παρέχειν, ὅμως τούτων οὐδὲν οὐδένα ποιεῖ προσφερό-

μενον· καὶ μὴν οὐδ' ὀπώραν παρατίθησί τινι καίπερ οὖσαν πολλὴν καὶ ἥδιστα ταύτης μνημονεύων καὶ πάντα χρόνον παρασκευάζων ἀθάνατον· ἀλλὰ μὴν οὐδὲ στεφανουμένους οὐδὲ μυρουμένους ποιεῖ ὥσπερ οὐδὲ θυμιῶντας, ἀλλὰ πάντων τούτων ἀπολυομένους τοὺς ἀνθρώπους εἰς ἐλευθερίαν καὶ αὐτάρκειαν ἐξαίρει, καὶ
τοὺς πρώτους. καὶ θεοῖς δὲ ἁπλῆν ἀποδίδωσι δίαιταν 6
νέκταρ καὶ ἀμβροσίαν. καὶ τοὺς ἀνθρώπους δὲ ποιεῖ τιμῶντας αὐτοὺς ἀπὸ τῆς διαίτης, ἀφελὼν λιβανωτὸν καὶ σμύρναν καὶ στεφάνους καὶ τὴν περὶ ταῦτα τρυφήν. καὶ τῆς ἁπλῆς δὲ ταύτης διαίτης οὐκ ἀπλήστως ἀπολαύοντας παρίστησιν, ἀλλ' ὡς οἱ κράτιστοι τῶν ἰατρῶν ἀφαιρεῖ τὰς πλησμονάς,

'αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο'· α 150.
καὶ τὴν ἐπιθυμίαν πληρώσαντες οἱ μὲν ἐξώρμων ἐπὶ
μελέτην ἀθλητικὴν δίσκοισι τερπόμενοι καὶ αἰγανέαις, δ 626.
τῇ παιδιᾷ τὰ πρὸς σπουδὴν ἐκμελετῶντες· οἱ δὲ κιθαρῳδῶν ἠκροῶντο τὰς ἡρωικὰς πράξεις ἐν μέλει καὶ
ῥυθμῷ ποιούντων. διὸ οὐδὲν θαυμαστὸν τοὺς οὕτω 7
τεθραμμένους ἀφλεγμάντους εἶναι τὰ σώματα καὶ τὰς ψυχάς. ἐνδεικνύμενος οὖν καὶ τὴν εὐταξίαν ὡς ὑγιεινόν ἐστι καὶ εὔχρηστον καὶ κοινὸν τὸν σοφώτατον
Νέστορα πεποίηκε Μαχάονι τῷ ἰατρῷ τετρωμένῳ τὸν Λ 639.
δεξιὸν ὦμον προσφέροντα οἶνον, ταῖς φλεγμοναῖς ἐναντιώτατον ὄντα, καὶ τοῦτον Πράμνειον, ὃν ἴδμεν παχὺν καὶ πολύτροφον (οὐ διψήσεως ἄκος, ἀλλ' ἐμφορήσεως ἕνεκα· πεπωκότι γοῦν παρακελεύεται συν-
εχῶς τοῦτο ποιεῖν· 'σὺ μέν', φησί, 'πῖνε καθήμενος'), Ξ 5.
καὶ ἐπιξύοντα τυρὸν αἴγειον, ἐπὶ δὲ κρόμυον ποτοῦ Λ 639. Λ 630.
ὄψον, ἵνα πλεῖον πίνῃ, καίτοι ἀλλαχοῦ λέγων τὸν οἶνον Ζ 265.
ἐκλύειν τὴν ἰσχὺν καὶ ἀπογυιοῦν. περὶ δὲ τοῦ Ἕκτορος 8

Ζ 258. Ἑκάβη οἰομένη μενεῖν αὐτὸν τὸ καταλειπόμενον τῆς
ἡμέρας παρακαλεῖ πιεῖν σπείσαντα, προτρεπομένη εἰς
θυμηδίαν· ὁ δ' ὑπερτίθεται πρὸς πρᾶξιν ἐξιών. καὶ ἡ
μὲν ἀπερισπάστως ἐπαινεῖ τὸν οἶνον, ὁ δὲ μετὰ ἄσθ-
ματος ἥκων ἀπωθεῖται· καὶ ἡ μὲν ἀξιοῖ σπείσαντα
πιεῖν, ὁ δὲ καθημαγμένος ἀσεβὲς ἡγεῖται. οἶδε δὲ ὁ
Ὅμηρος καὶ τὸ ὠφέλιμον καὶ τὸ σύμμετρον τοῦ οἴνου,
φ 294. ἐν οἷς τὸν χανδὸν ἕλκοντα αὐτὸν βλάπτεσθαί φησι.
9 τῆς μέθης δὲ κατατρέχων ὁ ποιητὴς τὸν τηλικοῦτον
Κύκλωπα ὑπὸ μικροῦ σώματος διὰ ταύτην ἀπολλύ-
φ 295. μενον παρίστησι καὶ Εὐρυτίωνα τὸν Κένταυρον. ποιεῖ
δὲ καὶ τοὺς Ἕλληνας ἐν τῷ ἀπόπλῳ μεθύοντας, διὸ
καὶ στασιάζοντας· ὅθεν καὶ ἀπόλλυνται. ἱστορεῖ δὲ
καὶ τὸν δεινότατον τῶν Τρώων ἐν τῷ βουλεύεσθαι
Αἰνείαν διὰ τὴν ἐν τῇ μέθῃ παρρησίαν καὶ τὰς ἀπει-
Υ 84. λάς, ἃς Τρωσὶν ὑπέσχετο οἰνοποτάζων, ὑπομείναντα
τὴν Ἀχιλλέως ὁρμὴν καὶ μικροῦ παραπολλύμενον. καὶ
Ἀγαμέμνων δὲ λέγει που περὶ αὐτοῦ·

Ι 119. 'ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας
ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί',

εἰς τὴν αὐτὴν τιθεὶς πλάστιγγα τὴν μέθην τῇ μανίᾳ.

II Τροφαῖς ἐχρῶντο τρισὶν οἱ ἥρωες παρ' Ὁμήρῳ, πρῶ-
τον μὲν τῷ καλουμένῳ ἀκρατίσματι, ὃ λέγει ἄριστον· οὗ
π 2. ἅπαξ μέμνηται ἐν Ὀδυσσείᾳ· 'Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
ἐντύνοντ' ἄριστον κειαμένω πῦρ', καὶ ἅπαξ ἐν Ἰλιάδι·
Ω 124. 'ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντ' ἄριστον.'
λέγει δὲ τὸ πρωινὸν ἔμβρωμα, ὃ ἡμεῖς ἀκρατισμὸν
καλοῦμεν διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι
ψωμούς. Φιλήμων δέ φησιν, ὅτι τροφαῖς δ' ἐχρῶντο
οἱ παλαιοί, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ·
τὸν μὲν οὖν ἀκρατισμὸν διανηστισμὸν ἔλεγον, τὸ δ'

ἄριστον δεῖπνον, τὸ δ' ἑσπέρισμα δορπηστόν, τὸ δὲ
δεῖπνον ἐπιδορπίδα. τῆς δὲ τετάρτης τροφῆς οὕτως 2
Ὅμηρος μέμνηται· 'σὺ δ' ἔρχεο δειελιήσας', ὃ καλοῦσί ρ 599.
τινες δειλινόν, ὅ ἐστι μεταξὺ τοῦ ὑφ' ἡμῶν λεγομένου
ἀρίστου καὶ δείπνου. καὶ ἄριστον μέν ἐστι τὸ ὑπὸ
τὴν ἕω λαμβανόμενον, δεῖπνον δὲ τὸ μεσημβρινόν, ὃ
ἡμεῖς ἄριστον, δόρπον δὲ τὸ ἑσπερινόν. εὐωχοῦνται
δὲ παρ' Ὁμήρῳ καθήμενοι. οἴονται δέ τινες καὶ ἑκάστῳ
τῶν δαιτυμόνων κατ' ἄνδρα παρακεῖσθαι τράπεζαν. τῷ
γοῦν Μέντῃ, φασίν, ἀφικομένῳ πρὸς Τηλέμαχον τῶν α 138.
τραπεζῶν παρακειμένων ξεστὴ παρετέθη τράπεζα. οὐκ 3
ἔστι δὲ τοῦτο ἐμφανῶς τοῦ προκειμένου κατασκευαστι-
κόν· δύναται γὰρ ἡ Ἀθηνᾶ ἀπὸ τῆς Τηλεμάχου τραπέ-
ζης δαίνυσθαι. παρ' ὅλην δὲ τὴν συνουσίαν παρέκειντο
αἱ τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρβάρων ἔτι
καὶ νῦν ἔθος ἐστί, 'κατηρεφέες παντοίων ἀγαθῶν' κατὰ
Ἀνακρέοντα. παρετίθεντο δὲ οἱ μὲν ἄρτοι σὺν τοῖς κα-
νοῖς, τὰ δὲ δεῖπνα κρέα μόνον ἦν ὀπτά. καὶ τῶν κρεῶν
δὲ μοῖραι ἐνέμοντο· ὅθεν ἐίσας φησὶ τὰς δαῖτας ἀπὸ τῆς
ἰσότητος. τὰ γὰρ δεῖπνα δαῖτας ἔλεγον ἀπὸ τοῦ δατεῖσθαι,
οὐ μόνον τῶν κρεῶν διανεμομένων ἀλλὰ καὶ τοῦ οἴνου·

'ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐίσης.' θ 98.

ἐκ τούτων δ' ἐπείσθη Ζηνόδοτος δαῖτα ἐίσην τὴν ἀγα-
θὴν λέγεσθαι. ἐπεὶ γὰρ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθὸν 4
ἀναγκαῖον ἦν, ἐπεκτείνας, φησίν, εἴρηκεν ἐίσην· ἐπεὶ
οἱ πρῶτοι ἄνθρωποι, οἷς δὴ οὐ παρῆν ἄφθονος τροφή,
ἄρτι φαινομένης ἀθρόον ἐπ' αὐτὴν ἰόντες βίᾳ ἥρπαζον
καὶ ἀφῃροῦντο τοὺς ἔχοντας, καὶ μετὰ τῆς ἀκοσμίας
ἐγίνοντο καὶ φόνοι. ἐξ ὧν εἰκὸς λεχθῆναι καὶ τὴν
ἀτασθαλίαν, ὅτι ἐν ταῖς θαλίαις τὰ πρῶτα ἐξημάρτανον
οἱ ἄνθρωποι εἰς ἀλλήλους. ὡς δὲ παρεγένετο αὐτοῖς

πολλὴ ἐκ τῆς Δήμητρος, διένεμον ἑκάστῳ ἴσην, καὶ οὕτως εἰς κόσμον ἦλθε τοῖς ἀνθρώποις τὰ δόρπα. ὥστε ἡ τροφὴ δαὶς ἐπὶ τῷ δαίεσθαι λέγεται, ὅ ἐστι διαμοιρᾶσθαι ἐπ' ἴσης· καὶ ὁ τὰ κρέα ὀπτῶν δαιτρός, ἐπεὶ
5 *ἴσην ἑκάστῳ μοῖραν ἐδίδου. καὶ ἐπὶ μόνων ἀνθρώπων δαῖτα λέγει ὁ ποιητής, ἐπὶ δὲ θηρίων οὐκ ἔτι. οὐκ ἔφερον δὲ οἴκαδε παρ' Ὁμήρῳ οἱ δαιτυμόνες τὰ λειπόμενα, ἀλλὰ κορεσθέντες κατέλιπον παρ' οἷς ἦν ἡ δαίς· καὶ ἡ ταμία λαβοῦσα εἶχεν, ἵνα ἄν τις ἀφίκηται ξένος, ἔχοι δοῦναι αὐτῷ. καὶ ἰχθύσι δὲ Ὅμηρος ποιεῖ χρωμένους τοὺς τότε καὶ ὄρνισι. κατὰ γοῦν τὴν Θρινακίαν οἱ Ὀδυσσέως ἑταῖροι θηρεύουσιν*

μ 331. *'ἰχθῦς ὄρνιθάς τε φίλας θ' ὅ τι χεῖρας ἵκοιτο*
γναμπτοῖς ἀγκίστροισιν'.

οὐ γὰρ ἐν τῇ Θρινακίᾳ ἐκεχάλκευτο τὰ ἄγκιστρα, ἀλλ'
6 *ἐπεφέροντο ἐν τῷ πλῷ δηλονότι· ὥστε ἦν αὐτοῖς*
μ 251. *θήρας ἰχθύων ἐπιμέλεια καὶ τέχνη. εἰκάζει δὲ καὶ τοὺς ὑπὸ Σκύλλης ἁρπαζομένους Ὀδυσσέως ἑταίρους ἰχθύσι προμήκει ῥάβδῳ ἁλισκομένοις καὶ θύραζε ῥιπτομένοις. ἑκάστῳ δὲ τῶν δαιτυμόνων παρ' Ὁμήρῳ παράκειται ποτήριον. Δημοδόκῳ γοῦν παρατίθεται*
θ 69. *κάνεον καὶ τράπεζα καὶ δέπας 'πιεῖν ὅτε θυμὸς ἀνώγοι'.*
Α 470. *ἐπιστέφονται δὲ ποτοῖο οἱ κρητῆρες, ἤτοι ὑπερχειλεῖς οἱ κρατῆρες ποιοῦνται, ὥστε διὰ τοῦ ποτοῦ ἐπιστεφανοῦσθαι, καὶ ταῦτα ἔπρασσον πρὸς οἰωνοῦ τιθέμενοι.*
Α 471. *κοῦροι δὲ διανέμουσι 'πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν'.*
7 *εἰσὶ δὲ καὶ τοῖς ἀρίστοις κατὰ δεῖπνα τιμαί. Τυδείδης*
Θ 162. *γοῦν καὶ κρέασι καὶ πλείοις δεπάεσσι τιμᾶται καὶ Αἴας*
Η 321. *νώτοισι διηνεκέεσσι γεραίρεται, καὶ οἱ βασιλεῖς δὲ τοῖς*
δ 65. *αὐτοῖς· 'νῶτα βοός, τά ῥά οἱ πάρθεσαν αὐτῷ'. καὶ*
Μ 310. *Σαρπηδὼν δὲ παρὰ Λυκίοις τοῖς αὐτοῖς τιμᾶται, καὶ*

*ἕδρῃ καὶ κρέασιν. ἦν δέ τις αὐτοῖς καὶ διὰ τῆς προ-
πόσεως ἀσπασμός· οἱ γοῦν θεοὶ 'χρυσέοις δεπάεσσι
δειδέχατ' ἀλλήλους', ἤτοι ἐδεξιοῦντο προπίνοντες ἑαυ-
τοῖς ταῖς δεξιαῖς. ἐδωροῦντο δὲ καὶ ἀπὸ τῆς αὐτῶν
μοίρας οἷς ἐβούλοντο, ὡς Ὀδυσσεὺς νώτου ἀποπροτα-* θ 475.
μὼν οὗ αὐτῷ παρέθεντο τῷ Δημοδόκῳ.

Ἐχρῶντο δ' ἐν τοῖς συμποσίοις καὶ κιθαρῳδοῖς III
καὶ ὀρχησταῖς, ὡς οἱ μνηστῆρες. καὶ παρὰ Μενελάῳ δ 17.
*'ἐμέλπετο θεῖος ἀοιδός', δύο δὲ κυβιστητῆρες μολπῆς
ἐξάρχοντες ἐδίνευον· μολπῆς δὲ ἀντὶ τοῦ παιδιᾶς.
σῶφρον δέ τι ἦν τὸ τῶν ἀοιδῶν γένος καὶ φιλοσόφων
διάθεσιν ἐπέχον. Ἀγαμέμνων γοῦν τὸν ἀοιδὸν κατα-
λείπει τῇ Κλυταιμνήστρᾳ φύλακα καὶ παραινετῆρά τινα·
ὃς πρῶτον μὲν ἀρετὴν γυναικῶν διερχόμενος ἐνέβαλλέ* 2
*τινα φιλοτιμίαν εἰς καλοκἀγαθίαν, εἶτα διατριβὴν παρ-
έχων ἡδεῖαν ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐπι-
νοιῶν. διὸ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυ-
ναῖκα πρὶν τὸν ἀοιδὸν ἀπαγαγὼν ἐκθεῖναι ἐν νήσῳ
ἐρήμῃ. κοινῶς δέ που πάντας τοὺς ἀοιδοὺς αἰδοίους
τοῖς ἀνθρώποις εἶναί φησι·*

'τοὔνεκ' ἄρα σφέας θ 480.
οἴμας Μοῦσ' ἐδίδαξε φίλησέ τε φῦλον ἀοιδῶν.'

ὀρχήσεις δ' εἰσὶ παρ' Ὁμήρῳ αἱ μέν τινες τῶν κυβι- 8
*στητήρων, αἱ δὲ διὰ τῆς σφαίρας· ἧς τὴν εὕρεσιν
Ἀγαλλὶς ἡ Κερκυραία γραμματικὴ Ναυσικάᾳ ἀνατί-
θησιν ὡς πολίτιδι χαριζομένη. ταύτην δὲ μόνην τῶν
ἡρωίδων Ὅμηρος παράγει σφαιρίζουσαν. οἱ Φαίακες
δὲ παρ' Ὁμήρῳ καὶ ἄνευ σφαίρας ὀρχοῦνται. καὶ
ὀρχοῦνταί που ἀνὰ μέρος πυκνῶς (τοῦτο γάρ ἐστι τὸ
'ταρφέ' ἀμειβόμενοι'), ἄλλων ἐφεστώτων καὶ ἐπικρο-* θ 379.
τούντων τοῖς λιχανοῖς δακτύλοις. οἶδε δὲ ὁ ποιητὴς

4 καὶ τὴν πρὸς ᾠδὴν ὄρχησιν· Δημοδόκου γοῦν ᾄδοντος
θ 262. κοῦροι πρωθῆβαι ὠρχοῦντο· καὶ ἐν τῇ Ὁπλοποιίᾳ δὲ
παιδὸς κιθαρίζοντος ἄλλοι ἐναντίοι μολπῇ τε ὀρχηθμῷ
Σ 572. τε ἔσκαιρον. ἐχρῶντο δὲ καὶ αὐλοῖς καὶ σύριγξιν οἱ
Κ 13. ἥρωες. ὁ γοῦν Ἀγαμέμνων ʽαὐλῶν συρίγγων τ' ἐνο-
πήν' ἀκούει. εἰς δὲ τὰ συμπόσια οὐ παρήγαγε· πλὴν
Σ 495. ἐν τῇ Ὁπλοποιίᾳ γάμων γινομένων αὐλῶν μνημονεύει.
τοῖς δὲ βαρβάροις ἀποδίδωσι τοὺς αὐλούς· παρὰ Τρωσὶ
5 γοῦν ἦν αὐλῶν συρίγγων τ' ἐνοπή. ἔσπενδον δὲ ἀπὸ
τῶν δείπνων ἀναλύοντες καὶ τὰς σπονδὰς ἐποιοῦντο
η 137. Ἑρμῇ καὶ οὐχ ὡς ὕστερον Διὶ τελείῳ. δοκεῖ γὰρ
Ἑρμῆς ὕπνου προστάτης εἶναι. καὶ οἱ μνηστῆρες δὲ
α 107. παρ' αὐτῷ ʽπεσσοῖσι προπάροιθε θυράων' ἐτέρποντο.
Ἀπίων δὲ ὁ Ἀλεξανδρεὺς καὶ ἀκηκοέναι φησὶ παρὰ
τοῦ Ἰθακησίου Κτήσωνος τὴν τῶν μνηστήρων πεττείαν
6 οἵα ἦν. ʽὀκτὼ γάρ', φησί, ʽκαὶ ἑκατὸν ὄντες οἱ μνη-
στῆρες διετίθεσαν ψήφους ἐναντίας ἀλλήλαις, ἴσας πρὸς
ἴσας τὸν ἀριθμόν, ὅσοιπερ ἦσαν καὶ αὐτοί· γίνεσθαι
οὖν ἑκατέρωθεν δ' καὶ πεντήκοντα. τὸ δ' ἀνὰ μέσον
τούτων διαλιπεῖν ὀλίγον· ἐν δὲ τῷ μεταιχμίῳ τούτῳ
μίαν τιθέναι ψῆφον, ἣν καλεῖν αὐτοὺς Πηνελόπην·
7 καὶ κληρουμένων τὸν λαχόντα στοχάζεσθαι ταύτης. εἰ
δέ τις τύχοι καὶ ἐκκρούσειε πρόσω, ἀποτίθεσθαι τὴν
ἑαυτοῦ εἰς τὴν τῆς βληθείσης καὶ ἐξωσμένης χώραν,
ἐν ᾗ πρότερον ἦν· καὶ πάλιν στήσαντα τὴν Πηνελόπην
ἐν ᾧ τὸ δεύτερον ἐγένετο χωρίῳ, ἐντεῦθεν βάλλειν
τὴν ἑαυτοῦ. εἰ δὲ τύχοι ἄνευ τοῦ μηδεμιᾶς τῶν ἄλλων
ψαῦσαι, νικᾶν καὶ ἐλπίδας ἔχειν πολλὰς γαμήσειν αὐ-
τήν. τὸν δὲ Εὐρύμαχον πλείστας εἰληφέναι ταύτῃ τῇ
παιδιᾷ καὶ εὔελπιν εἶναι τῷ γάμῳ.'

II. Quomodo Athenis pueri educati sint.

(Platon. Protag. p. 325 C – 326 E. cf. fasc. II p. 3.)

Ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι οὗπερ ἂν 1
ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν. ἐπειδὰν θᾶττον
συνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παι-
δαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται,
ὅπως βέλτιστος ἔσται ὁ παῖς, παρ' ἕκαστον καὶ ἔργον
καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι, ὅτι τὸ μὲν
δίκαιον, τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ
αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον, καὶ τὰ
μὲν ποίει, τὰ δὲ μὴ ποίει· καὶ ἐὰν μὲν ἑκὼν πεί-
θηται —, εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ
καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. μετὰ 2
δὲ ταῦτα εἰς διδασκάλων πέμποντες πολὺ μᾶλλον ἐν-
τέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμ-
μάτων τε καὶ κιθαρίσεως· οἱ δὲ διδάσκαλοι τούτων
τε ἐπιμελοῦνται, καὶ ἐπειδὰν αὖ γράμματα μάθωσι καὶ
μέλλωσι συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν
φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγι-
γνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν
ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισι,
πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν
ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέ-
γηται τοιοῦτος γενέσθαι. οἵ τ' αὖ κιθαρισταί, ἕτερα 3
τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ
νέοι μηδὲν κακουργῶσι· πρὸς δὲ τούτοις, ἐπειδὰν κι-
θαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιή-
ματα διδάσκουσι μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντεί-
νοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγ-
κάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα

*ἡμερώτεροί τε ὦσι καὶ εὐρυθμότεροι καὶ εὐαρμοστό-
τεροι γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ
πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε
4 καὶ εὐαρμοστίας δεῖται. ἔτι τοίνυν πρὸς τούτοις εἰς
παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώματα βελτίω ἔχοντες
ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ καὶ μὴ ἀναγκά-
ζωνται ἀποδειλιᾶν διὰ τὴν πονηρίαν τῶν σωμάτων
καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς ἄλλαις πράξεσι· καὶ
ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι μάλιστα· μάλιστα
δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ τούτων υἱεῖς
πρῳαίτατα εἰς διδασκάλων τῆς ἡλικίας ἀρξάμενοι φοι-
5 τᾶν ὀψιαίτατα ἀπαλλάττονται. ἐπειδὰν δὲ ἐκ διδα-
σκάλων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους
ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους ζῆν, ἵνα μὴ
αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ
οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παί-
δων ὑπογράψαντες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμ-
ματεῖον διδόασι καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν
ὑφήγησιν τῶν γραμμῶν, ὣς δὲ καὶ ἡ πόλις νόμους
ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑρή-
ματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι·
ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει, καὶ ὄνομα τῇ
κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλαχοῦ, ὡς
εὐθυνούσης τῆς δίκης, εὐθῦναι.*

III. De educatione puerorum Lacedaemoniorum.

(Xenoph. de republica Lacedaem. 2, 1—11. cf. fasc. II p. 41.)

1 *Ἐπεὶ περὶ γενέσεως τῶν Σπαρτιατῶν ἐξήγημαι,
βούλομαι καὶ τὴν παιδείαν σαφηνίσαι. τῶν μὲν τοί-
νυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς*

υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησομένους καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ. πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. ὁ δὲ Λυκοῦργος ἀντὶ μὲν τοῦ 2
ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ ἀθροίζειν τοὺς παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως 3
τιμωροῖεν, ὅτε δέοι· ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων, εἰ τοῦτ' ἀσκήσειαν, πολὺ μὲν ῥᾷον ἂν ὄρθιάδε βαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον ἀνυπόδητον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον. καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνό- 4
μισεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι, νομίζων οὕτω καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρασκευάσασθαι. σῖτόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα 5
συμβολεύειν τὸν εἴρενα ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἄν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχε-

ρέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα, καὶ ὑγιεινοτέρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμ-
6 βάνειν ἡγήσατο ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν προσδέωνται, κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν, ὅ τι δοίη, ἐφῆκεν αὐτοῖς τὸ μηχανᾶσθαι τὴν τροφήν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν· δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψε-
7 σθαι. ταῦτα οὖν δὴ πάντα δῆλον ὅτι μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμικωτέρους οὕτως ἐπαίδευσεν. εἴποι δ' ἂν οὖν τις, τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ; ὅτι, φημὶ ἐγώ, καὶ τἄλλα ὅσα ἄνθρωποι διδάσκουσι κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους
8 ὡς κακῶς κλέπτοντας τιμωροῦνται. καὶ ὡς πλείστους δὴ ἁρπάσαι τυροὺς παρ' Ὀρθίας καλὸν θείς, μαστιγοῦν τούτους ἄλλοις ἐπέταξε, τοῦτο δὴ δηλῶσαι καὶ ἐν τούτῳ βουλόμενος ὅτι ἔστιν ὀλίγον χρόνον ἀλγήσαντα πολὺν χρόνον εὐδοκιμοῦντα εὐφραίνεσθαι. δηλοῦται δὲ ἐν τούτῳ, ὅτι καὶ ὅπου τάχους δεῖ ὁ βλακεύων ἐλάχιστα μὲν ὠφελεῖται, πλεῖστα δὲ πράγματα λαμ-
9 βάνει. ὅπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισίν, ὅ τι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν. τοῦτο δὲ ποιήσας διέπραξε καὶ αἰδημονεστέρους

εἶναι τοὺς παῖδας· οὐδὲν γὰρ οὕτως αἰδοῦνται οὔτε παῖδες οὔτε ἄνδρες ὡς τοὺς ἄρχοντας. ὡς δὲ καὶ εἴ ποτε μηδεὶς τύχοι ἀνὴρ παρών, μηδ' ὣς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης ἑκάστης τὸν τορώτατον τῶν εἰρένων ἄρχειν· ὥστε οὐδέποτε ἐκεῖ οἱ παῖδες ἔρημοι ἄρχοντός εἰσιν.

IV. Nec publice nec privatim expedit idem duobus esse nomen.

(Dem. XXXIX 6—24. cf. fasc. II p. 10.)

Mantias, filius Mantithei, qui pagi erat Thorici tribus Acamantidis (§ 17), ex filia Polyarati filium genuit, cui nomen erat Mantitheo, eum qui verba facit; ex concubina autem Plangone, muliere Atheniensi ex tribu Hippothontide (§ 16), duos habuit filios, Boeotum et Pamphilum; hos cum initio filios legitimos non agnovisset, paulo ante mortem suam ab eis eorumque matre, quibus Mnesicles et Menecles (§ 8) calumniatores famosissimi aderant, per iudicium coactus est nomina eorum Apaturiis in tabulas gentilium suorum curare referenda (*εἰς τοὺς φράτερας ἐγγράφειν* § 14, *ποιεῖσθαι* § 1). nec vero ea re Boeotus contentus post patris mortem ipse curavit, ut nomine Mantithei indito in tabulas pagi civitatemque reciperetur, cum diceret patrem sibi decimo post natalem die (*δεκάτῃ* § 15, quo die Athenis infanti nomen dari solebat) hoc nomen indidisse, erat enim natu maior germano Mantitheo. qua re cum de hereditate inter fratres controversiae essent, a Mantitheo citatus noluit ad arbitrum (*διαιτητής*) adesse, quoniam ille Boeotum aliquem citasset, non se cui nomen esset Mantitheo. agitur igitur in hac causa de nomine, num maiori Plangonis filio nomen Mantithei sibi sumere liceat.

Ὅτι δικαίως καὶ ἀναγκαίως ἔλαχον τὴν δίκην, τοῦτ' 1
ἤδη δείξω. ἐγὼ γὰρ οὐχ οὕτω δήπου σκαιός εἰμ' ἄνθρωπος οὐδ' ἀλόγιστος, ὥστε τῶν μὲν πατρῴων, ἃ πάντ' ἐμὰ ἐγίγνετο, ἐπειδήπερ ἐποιήσατο τούτους ὁ πατήρ, συγκεχωρηκέναι τὸ τρίτον νείμασθαι μέρος καὶ στέργειν ἐπὶ τούτῳ, περὶ δ' ὀνόματος ζυγομαχεῖν, εἰ μὴ τὸ μὲν ἡμᾶς μεταθέσθαι μεγάλην ἀτιμίαν ἔφερε

καὶ ἀνανδρίαν, τὸ δὲ ταὐτὸν ἔχειν τοῦτον ἡμῖν ὄνομα διὰ πόλλ' ἀδύνατον ἦν.

2 *Πρῶτον μὲν γάρ, εἰ δεῖ τὰ κοινὰ τῶν ἰδίων εἰπεῖν πρότερον, τίν' ἡμῖν ἡ πόλις ἐπιτάξει τρόπον, ἄν τι δέῃ ποιεῖν; οἴσουσι νὴ Δί' οἱ φυλέται τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τοὺς ἄλλους. οὐκοῦν Μαντίθεον Μαντίου Θορίκιον οἴσουσιν, ἐὰν χορηγὸν ἢ γυμνασίαρχον ἢ ἑστιάτορ' ἢ ἄν τι τῶν ἄλλων φέρωσιν. τῷ δῆλον οὖν*

3 *ἔσται, πότερον σὲ φέρουσιν ἢ ἐμέ; σὺ μὲν γὰρ φήσεις ἐμέ, ἐγὼ δὲ σέ. καὶ δὴ καλεῖ μετὰ τοῦθ' ὁ ἄρχων ἢ πρὸς ὅντιν' ἂν ᾖ. οὐχ ὑπακούομεν, οὐ λειτουργοῦμεν. πότερος ταῖς ἐκ τῶν νόμων ἔσται ζημίαις ἔνοχος; τίνα δ' οἱ στρατηγοὶ τρόπον ἐγγράψουσιν, ἂν εἰς συμμορίαν ἐγγράφωσιν, ἢ ἂν τριήραρχον καθιστῶσιν; ἢ ἂν στρατεία τις ᾖ, τῷ δῆλον ἔσται, πότερός ἐσθ' ὁ κατει-*

4 *λεγμένος; τί δ', ἂν ἄλλη τις ἀρχὴ καθιστῇ λειτουργεῖν, οἷον ἄρχων, βασιλεύς, ἀθλοθέται, τί σημεῖον ἔσται, πότερον καθιστᾶσιν; προσπαραγράψουσι νὴ Δία 'τὸν ἐκ Πλαγγόνος', ἂν σὲ γράφωσιν, ἂν δ' ἐμέ, τῆς ἐμῆς μητρὸς τοὔνομα. καὶ τίς ἤκουσε πώποτ', ἢ κατὰ ποῖον νόμον προσπαραγράφοιτ' ἂν τοῦτο τὸ παράγραμμα ἢ ἄλλο τι πλὴν ὁ πατὴρ καὶ ὁ δῆμος; ὧν ὄντων ἀμ-*

5 *φοῖν τῶν αὐτῶν πολλὴ ταραχὴ συμβαίνει. φέρ', εἰ δὲ κριτὴς καλοῖτο Μαντίθεος Μαντίου Θορίκιος, τί ἂν ποιοῖμεν; ἢ βαδίζοιμεν ἂν ἄμφω; τῷ γὰρ ἔσται δῆλον, πότερον σὲ κέκληκεν ἢ ἐμέ; πρὸς Διός, ἂν δ' ἀρχὴν ἡντινοῦν ἡ πόλις κληροῖ, οἷον βουλῆς ἢ θεσμοθέτου ἢ τῶν ἄλλων, τῷ δῆλος ὁ λαχὼν ἡμῶν ἔσται; οὐκοῦν ὁ μὲν αὐτόν, ἐγὼ δ' ἐμαυτὸν φήσω τὸν εἰληχότ' εἶναι.*

6 *λοιπὸν εἰς τὸ δικαστήριον ἡμᾶς εἰσιέναι. οὐκοῦν ἐφ' ἑκάστῳ τούτων δικαστήριον ἡμῖν ἡ πόλις καθιεῖ, καὶ*

τοῦ μὲν κοινοῦ καὶ ἴσου, τοῦ τὸν λαχόντ' ἄρχειν,
ἀποστερησόμεθα, ἀλλήλους δὲ πλυνοῦμεν, καὶ ὁ τῷ
λόγῳ κρατήσας ἄρξει. καὶ πότερ' ἂν βελτίους εἴημεν
τῶν ὑπαρχουσῶν δυσκολιῶν ἀπαλλαττόμενοι ἢ καινὰς
ἔχθρας καὶ βλασφημίας ποιούμενοι; ἃς πᾶσ' ἀνάγκη
συμβαίνειν, ὅταν ἀρχῆς ἤ τινος ἄλλου πρὸς ἡμᾶς αὐ-
τοὺς ἀμφισβητῶμεν. τί δ', ἂν ἄρα (δεῖ γὰρ ἅπαντ' 7
ἐξετάσαι) ἅτερος ἡμῶν πείσας τὸν ἕτερον, ἂν λάχῃ,
παραδοῦναι αὐτῷ τὴν ἀρχήν, οὕτω κληρῶται, τὸ δυοῖν
πινακίοιν τὸν ἕνα κληροῦσθαι τί ἄλλ' ἐστίν; εἶτ' ἐφ'
ᾧ θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς
ἐξέσται πράττειν; πάνυ γε· οὐ γὰρ ἂν αὐτὸ ποιήσαιμεν
— οἶδα κἀγώ, τὸ γοῦν κατ' ἐμέ· ἀλλ' οὐδ' αἰτίαν
τοιαύτης ζημίας ἐνίους ἔχειν καλόν, ἐξὸν μή.

Εἶεν. ἀλλὰ ταῦτα μὲν ἡ πόλις βλάπτεται· ἐγὼ δ' 8
ἰδίᾳ τί; θεάσασθ' ἡλίκα, καὶ σκοπεῖτ', ἄν τι δοκῶ λέ-
γειν· πολὺ γὰρ χαλεπώτερα ταῦθ' ὧν ἀκηκόατ' ἐστίν.
ὁρᾶτε μὲν γὰρ ἅπαντες αὐτὸν χρώμενον, ἕως μὲν ἔζη,
Μενεκλεῖ καὶ τοῖς περὶ ἐκεῖνον ἀνθρώποις, νῦν δ' ἑτέ-
ροις ἐκείνου βελτίοσιν οὐδέν, καὶ τὰ τοιαῦτ' ἐζηλω-
κότα καὶ δεινὸν δοκεῖν εἶναι βουλόμενον· καὶ νὴ Δί'
ἴσως ἔστιν. ἂν οὖν προϊόντος τοῦ χρόνου τῶν αὐτῶν 9
τι ποιεῖν τούτοις ἐπιχειρῇ (ἔστι δὲ ταῦτα γραφαί, φά-
σεις, ἐνδείξεις, ἀπαγωγαί), εἶτ' ἐπὶ τούτων τινί (πολλὰ
γάρ ἐστι τἀνθρώπινα, καὶ τοὺς πάνυ δεινοὺς ἑκά-
στοθ', ὅταν πλεονάζωσιν, ἐπίστασθ' ὑμεῖς κοσμίους
ποιεῖν) ὄφλῃ τῷ δημοσίῳ, τί μᾶλλον οὗτος ἐγγεγραμ-
μένος ἔσται ἐμοῦ; ὅτι 'νὴ Δί' εἴσονται πάντες, πότερός
ποτ' ὦφλεν'. καλῶς. ἂν δ', ὃ τυχὸν γένοιτ' ἄν, χρό- 10
νος διέλθῃ καὶ μὴ ἐκτεισθῇ τὸ ὄφλημα, τί μᾶλλον οἱ
τούτου παῖδες ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι, ὅταν

*τοὔνομα χὼ πατὴρ καὶ ἡ φυλὴ καὶ πάντ' ᾖ ταὐτά; τί
δ', εἴ τινας εἰσφορὰς μὴ θείη; τί δ', εἴ τις ἄλλη περὶ
τοὔνομα γίγνοιτ' ἢ λῆξις δίκης ἢ δόξ' ὅλως ἀηδής; τίς
εἴσεται τῶν πολλῶν, πότερός ποθ' οὗτός ἐστι, δυοῖν
11 Μαντιθέοιν ταὐτοῦ πατρὸς ὄντοιν; φέρ', εἰ δὲ δίκην
ἀστρατείας φεύγοι, χορεύοι δ' ὅταν στρατεύεσθαι δέῃ;
Ol. 107, 2 a. Chr. 350 καὶ γὰρ νῦν, ὅτ' εἰς Ταμύνας παρῆλθον οἱ ἄλλοι,
ἐνθάδε τοὺς χοᾶς ἄγων ἀπελείφθη καὶ τοῖς Διονυσίοις
καταμείνας ἐχόρευεν, ὡς ἅπαντες ἑωρᾶθ' οἱ ἐπιδη-
μοῦντες. ἀπελθόντων δ' ἐξ Εὐβοίας τῶν στρατιωτῶν,
λιποταξίου προσεκλήθη, κἀγὼ ταξιαρχῶν τῆς φυλῆς
ἠναγκαζόμην κατὰ τοὐνόματος τοῦ ἐμαυτοῦ πατρόθεν
12 δέχεσθαι τὴν λῆξιν. εἶεν. εἰ δὲ ξενίας προσκληθείη;
πολλοῖς δὲ προσκρούει, καὶ ὃν ἠναγκάσθη τρόπον ὁ
πατὴρ ποιήσασθαι αὐτόν, οὐ λέληθεν. ὑμεῖς δ', ὅτε
μὲν τοῦτον οὐκ ἐποιεῖθ' ὁ πατήρ, τὴν μητέρ' ἀληθῆ
λέγειν ἡγεῖσθ' αὐτοῦ· ἐπειδὰν δ' οὕτω γεγονὼς οὗτος
ὀχληρὸς ᾖ, πάλιν ὑμῖν ποτε δόξει ἐκεῖνος ἀληθῆ λέγειν.
τί δ', εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ'
οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν, ἐρήμην ἐάσειε
τελεσθῆναι τὴν δίκην; ἆρά γε μικρὰν ἡγεῖσθε βλάβην,
ὦ ἄνδρες Ἀθηναῖοι, ἐν κοινωνίᾳ τὸν ἅπαντα βίον τῆς
13 τούτου δόξης καὶ τῶν ἔργων εἶναι; Ὅτι τοίνυν οὐδ' ἃ
διεξελήλυθ' ὑμῖν μάτην φοβοῦμαι, θεωρήσατε. οὗτος
γὰρ ἤδη καὶ γραφάς τινας, ὦ ἄνδρες Ἀθηναῖοι, πέ-
φευγεν, ἐφ' αἷς οὐδὲν αἴτιος ὢν ἐγὼ συνδιαβάλλομαι,
καὶ τῆς ἀρχῆς ἠμφεσβήτει, ἣν ὑμεῖς ἔμ' ἐχειροτονήσατε,
καὶ πολλὰ καὶ δυσχερῆ διὰ τοὔνομα συμβέβηκεν ἡμῖν,
ὧν, ἵν' εἰδῆθ', ἑκάστων μάρτυρας ὑμῖν παρέξομαι.*
[Leguntur testimonia.]

14 *Ὁρᾶτ', ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμβαίνοντα καὶ*

τὴν ἀηδίαν τὴν ἐκ τοῦ πράγματος. εἰ τοίνυν μηδὲν ἀηδὲς ἦν ἐκ τούτων, μηδ' ὅλως ἀδύνατον ταὐτὸν ἔχειν ὄνομ' ἡμῖν συνέβαινεν, οὐ δήπου τοῦτον μὲν δίκαιον τὸ μέρος τῶν ἐμῶν χρημάτων ἔχειν κατὰ τὴν ποίησιν, ἣν ὁ πατὴρ αὐτὸν ἀναγκασθεὶς ἐποιήσατο, ἐμὲ δ' ἀφαιρεθῆναι τοὔνομα, ὃ βουλόμενος καὶ οὐδ' ὑφ' ἑνὸς βιασθεὶς ἔθετο. οὐκ ἔγωγ' ἡγοῦμαι. ἵνα τοίνυν εἰδῆτε, ὅτι οὐ μόνον εἰς τοὺς φράτερας οὕτως, ὡς μεμαρτύρηται, ὁ πατὴρ τὴν ἐγγραφὴν ἐποιήσατο, ἀλλὰ καὶ τὴν δεκάτην ἐμοὶ ποιῶν τοὔνομα τοῦτ' ἔθετο, λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν. [Testimonium legitur.]

Ἐτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ πρᾶγμ' ἀναιδέ- 15
στατον λέγειν, ὡς ὁ πατὴρ αὐτοῦ δεκάτην ἐποίησεν ὥσπερ ἐμοῦ καὶ τοὔνομα τοῦτ' ἔθετ' αὐτῷ, καὶ μάρτυράς τινας παρείχετο, οἷς ἐκεῖνος οὐδεπώποτ' ὤφθη χρώμενος. ἐγὼ δ' οὐδέν' ὑμῶν ἀγνοεῖν οἴομαι, ὅτι οὔτ' ἂν ἐποίησεν δεκάτην οὐδεὶς παιδίου μὴ νομίζων αὑτοῦ δικαίως εἶναι, οὔτε ποιήσας καὶ στέρξας, ὡς ἂν υἱόν τις στέρξαι, πάλιν ἔξαρνος ἐτόλμησε γενέσθαι.
οὐδὲ γὰρ εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων, 16
τούτους ἂν ἐμίσει, νομίζων αὑτοῦ εἶναι· πολὺ γὰρ μᾶλλον εἰώθασιν, ὧν ἂν ἑαυτοῖς διενεχθῶσιν ἀνὴρ καὶ γυνή, διὰ τοὺς παῖδας καταλλάττεσθαι, ἢ δι' ἃν ἀδικηθῶσιν ὑφ' αὑτῶν, τοὺς κοινοὺς παῖδας προσμισεῖν. οὐ τοίνυν ἐκ τούτων ἔστ' ἰδεῖν μόνον, ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, ἀλλὰ πρὶν ἡμέτερος φάσκειν συγγενὴς εἶναι, εἰς Ἱπποθωντίδ' ἐφοίτα φυλὴν εἰς παῖδας χορεύσων. καίτοι τίς ἂν ὑμῶν οἴεται τὴν μητέρα πέμψαι 17
τοῦτον εἰς ταύτην τὴν φυλήν, δεινὰ μέν, ὥς φησ', ὑπὸ τοῦ πατρὸς πεπονθυῖαν, δεκάτην δ' εἰδυῖαν πεποιηκότ' ἐκεῖνον καὶ πάλιν ἔξαρνον ὄντα; ἐγὼ μὲν

οὐδέν' ἂν οἶμαι. εἰς γὰρ τὴν Ἀκαμαντίδ' ὁμοίως ἐξῆν σοι φοιτᾶν, καὶ ἐφαίνετ' ἂν οὐσ' ἀκόλουθος ἡ φυλὴ τῇ θέσει τοὐνόματος.

V. Socrates narrat, quomodo cum Ischomacho de bonae matris familiae officiis collocutus sit.
(Xenoph. Oecon. 7, 1–31. cf. fasc. II p. 41.)

1 Ἰδών ποτε Ἰσχόμαχον ἐν τῇ τοῦ Διὸς τοῦ ἐλευθερίου στοᾷ καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ καὶ παρακαθιζόμενος εἶπον· 'Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν κάθησαι; ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι δρῶ σε ἢ οὐ πάνυ σχολάζοντα
2 ἐν τῇ ἀγορᾷ.' 'Οὐδὲ ἂν νῦν γε', ἔφη ὁ Ἰσχόμαχος, 'ὦ Σώκρατες, ἑώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε.' 'Ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν', ἔφην ἐγώ, 'ποῦ διατρίβεις καὶ τί ποιεῖς; ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι, τί ποτε πράττων καλὸς κἀγαθὸς κέκλησαι, ἐπεὶ οὐκ ἔνδον γε διατρίβεις οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος
3 καταφαίνεται.' καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ 'τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι', καὶ ἡσθείς, ὥς γ' ἐμοὶ ἔδοξεν, εἶπεν· 'Ἀλλ' εἰ μέν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ τινες, καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα· οὐ γὰρ δὴ ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας ἢ χορηγίας, οὐδείς', ἔφη, 'ζητεῖ τὸν καλόν τε κἀγαθόν, ἀλλὰ σαφῶς', ἔφη, 'ὀνομάζοντές με Ἰσχό-
4 μαχον πατρόθεν προσκαλοῦνται. ἐγὼ μὲν τοίνυν', ἔφη, 'ὦ Σώκρατες, ὅ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. καὶ γὰρ δή', ἔφη, 'τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ ἡ γυνή ἐστιν ἱκανὴ διοικεῖν.' 'Ἀλλὰ καὶ τοῦτο', ἔφην, 'ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοί-

*μην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα ὥστε
εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς
καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ.' 'Καὶ* 5
*τί ἄν', ἔφη, 'ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλα-
βον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς
ἐμέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμε-
λείας, ὅπως ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο,
ἐλάχιστα δ' ἔροιτο; οὐ γὰρ ἀγαπητόν σοι δοκεῖ εἶναι,* 6
*εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα ἱμάτιον
ἀποδεῖξαι καὶ ἑωρακυῖα, ὡς ἔργα ταλάσια θεραπαίναις
δίδοται; ἐπεὶ τά γε ἀμφὶ γαστέρα', ἔφη, 'πάνυ καλῶς,
ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε
δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί.' 'Τὰ δ'* 7
*ἄλλα', ἔφην ἐγώ, 'ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν
γυναῖκα ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι;'
'Οὐ μὰ Δί'', ἔφη ὁ Ἰσχόμαχος, 'οὔ, πρίν γε καὶ ἔθυσα
καὶ ηὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην
μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν.' 'Οὐκοῦν',* 8
*ἔφην ἐγώ, 'καὶ ἡ γυνή σοι συνέθυε καὶ συνηύχετο
ταὐτὰ ταῦτα;' 'Καὶ μάλα γ'', ἔφη ὁ Ἰσχόμαχος, 'πολλὰ
ὑπισχνουμένη μὲν πρὸς τοὺς θεοὺς γενήσεσθαι οἵαν
δεῖ, καὶ εὔδηλος ἦν ὅτι οὐκ ἀμελήσει τῶν διδασκομέ-
νων.' 'Πρὸς θεῶν', ἔφην ἐγώ, 'ὦ Ἰσχόμαχε, τί πρῶ-
τον διδάσκειν ἤρχου αὐτήν, διηγοῦ μοι· ὡς ἐγὼ ταῦτ'
ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι, ἢ εἴ μοι γυμνικὸν
ἢ ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο.' καὶ ὁ Ἰσχό-* 9
*μαχος ἀπεκρίνατο· 'Τί δ';' ἔφη, 'ὦ Σώκρατες, ἐπεὶ
ἤδη μοι χειροήθης ἦν καὶ ἐτετιθάσευτο ὥστε διαλέ-
γεσθαι, ἠρόμην αὐτὴν ὧδέ πως· "Εἰπέ μοι, ὦ γύναι,
ἆρα ἤδη κατενόησας, τίνος ποτὲ ἕνεκα ἐγώ τε σὲ ἔλα-
βον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; βουλευόμενος*

δ' ἐγώ τε ὑπὲρ ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ, τίν'
ἂν κοινωνὸν βέλτιστον οἴκου τε καὶ τέκνων λάβοιμεν,
ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σοὶ γονεῖς, ὡς ἐοίκασιν,
10 ἐκ τῶν δυνατῶν ἐμέ. τέκνα μὲν οὖν ἤν θεός ποτε
διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐτῶν,
ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμῖν
καὶ τοῦτο ἀγαθόν, συμμάχων καὶ γηροβοσκῶν ὅτι
βελτίστων τυγχάνειν· νῦν δὲ δὴ ὁ οἶκος ἡμῖν ὅδε κοινός
ἐστιν. ἐγώ τε γὰρ ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν
ἀποφαίνω, σύ τε ὅσα ἠνέγκω πάντα εἰς τὸ κοινὸν
11 κατέθηκας. καὶ οὐ τοῦτο δεῖ λογίζεσθαι, πότερος ἄρα
ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ' ἐκεῖνο εὖ εἰ-
δέναι, ὅτι, ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ,
οὗτος τὰ πλείονος ἄξια συμβάλλεται." ἀπεκρίνατο δέ
μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή· "Τί δ' ἂν ἐγώ
σοι", ἔφη, "δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύνα-
μις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ μήτηρ
12 ἔργον εἶναι σωφρονεῖν." "Ναὶ μὰ Δί'", ἔφην ἐγώ,
"ὦ γύναι, καὶ γὰρ ἐμοὶ ὁ πατήρ. ἀλλὰ σωφρόνων τοί
ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν, ὅπως τά τε
ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ
καλοῦ τε καὶ δικαίου προσγενήσεται." "Καὶ τί δή",
ἔφη, "ὁρᾷς", ἡ γυνή, "ὅ τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι
τὸν οἶκον;" "Ναὶ μὰ Δί'", ἔφην ἐγώ, "ἅ τε οἱ θεοὶ
ἔφυσάν σε δύνασθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα
13 πειρῶ ὡς βέλτιστα ποιεῖν." "Καὶ τί δὴ ταῦτά ἐστιν;"
ἔφη ἐκείνη. "Οἶμαι μὲν ἔγωγε", ἔφην, "οὐ τὰ ἐλα-
χίστου ἄξια, εἰ μή πέρ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν
μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις ἔργοις ἐφέστηκεν. ἐμοὶ
γάρ τοι", ἔφη φάναι, "καὶ οἱ θεοί, ὦ γύναι, δοκοῦσι
πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο συντε-

θηκέναι, ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως ὅτι ὠφελι-
μώτατον ᾖ αὑτῷ εἰς τὴν κοινωνίαν. πρῶτον μὲν γὰρ 14
τοῦ μὴ ἐκλιπεῖν ζῴων γένη τοῦτο τὸ ζεῦγος κεῖται
μετ' ἀλλήλων τεκνοποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς
κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν
ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀν-
θρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαίθρῳ,
ἀλλὰ στεγνῶν δεῖται δῆλον ὅτι. δεῖ μέντοι τοῖς μέλ-
λουσιν ἕξειν, ὅ τι εἰσφέρωσιν εἰς τὸ στεγνόν, τοῦ ἐρ-
γασομένου τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας. καὶ γὰρ 15
νεατὸς καὶ σπόρος καὶ φυτεία καὶ νομαὶ ὑπαίθρια
ταῦτα πάντα ἔργα ἐστίν· ἐκ τούτων δὲ τὰ ἐπιτήδεια
γίγνεται. δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰσενεχθῇ εἰς τὸ
στεγνόν, καὶ τοῦ σῴσοντος ταῦτα, καὶ τοῦ ἐργασομένου
δ' ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι. στεγνῶν δὲ
δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στε-
γνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσ-
αύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία.
ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων καὶ ἐπιμελείας δεῖ- 16
ται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσιν", φάναι,
"εὐθὺς παρεσκεύασεν ὁ θεός, ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν
τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν
δὲ τοῦ ἀνδρὸς ἐπὶ τὰ ἔξω. ῥίγη μὲν γὰρ καὶ θάλπη
καὶ ὁδοιπορίας καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ
τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν·
ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα· τῇ δὲ γυναικὶ ἧττον 17
τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φύσας τὰ ἔνδον ἔργα
αὐτῇ", φάναι ἔφη, "προστάξαι μοι δοκεῖ ὁ θεός. εἰ-
δὼς δέ, ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε τὴν
τῶν νεογνῶν τέκνων τροφήν, καὶ τοῦ στέργειν τὰ
νεογνὰ βρέφη πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. ἐπεὶ

*δὲ καὶ τὸ φυλάττειν τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσ-
έταξε, γιγνώσκων ὁ θεός, ὅτι πρὸς τὸ φυλάττειν οὐ
κάκιόν ἐστι φοβερὰν εἶναι τὴν ψυχήν, πλεῖον μέρος
18 καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀνδρί. εἰδὼς
δέ, ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ, τὸν τὰ
ἔξω ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους
ἐδάσατο. ὅτι δ' ἀμφοτέρους δεῖ καὶ διδόναι καὶ λαμ-
βάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον
ἀμφοτέροις κατέθηκεν. ὥστε οὐκ ἂν ἔχοις διελεῖν,
πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν τούτων πλεονε-
κτεῖ. καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ εἰς τὸ μέσον
ἀμφοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεός,
ὁπότερος ἂν ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνή, τοῦ-
19 τον καὶ πλεῖον φέρεσθαι τούτου τοῦ ἀγαθοῦ. διὰ δὲ
τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταὐτὰ ἀμφοτέρων εὖ
πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων καὶ
τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον
ἐλλείπεται τὸ ἕτερον δυνάμενον. ταῦτα δέ", ἔφην,
"δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προσ-
τέτακται ὑπὸ τοῦ θεοῦ, πειρᾶσθαι ὡς βέλτιστα τὰ
προσήκοντα ἑκατέρῳ ἡμῶν διαπράττεσθαι. συνεπαινεῖ
δέ", ἔφη φάναι, "καὶ ὁ νόμος αὐτά, συζευγνὺς ἄνδρα
20 καὶ γυναῖκα. καὶ κοινωνοὺς ὥσπερ τῶν τέκνων ὁ θεὸς
ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου καθίστησι. καὶ
καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν, ἃ ὁ θεὸς ἔφυσεν
ἑκάτερον μᾶλλον δύνασθαι. τῇ μὲν γὰρ γυναικὶ κάλ-
λιον ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον
ἔνδον μένειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. εἰ δέ τις παρ'
ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς
οὐ λήθει καὶ δίκην δίδωσιν ἀμελῶν τῶν ἔργων τῶν
ἑαυτοῦ ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα."*

VI. Chilonidis uxoria caritas.

(Plut. Vit. Agid. 16, 3—18, 2. cf. fasc. IV p. 22.)

Posteaquam Agis rex Lacedaemoniorum res in patria secundum Lycurgi instituta restauravit, regem Leonidam in exilium eiecit in eiusque locum Cleombrotum eius generum substituit, dum belli gerendi causa ab urbe abest, Leonidas ex exilio reversus rerum potitur (cf. fasc. IV p. 65):

Τῶν δὲ βασιλέων ὁ μὲν Ἆγις ἐπὶ τὴν Χαλκίοικον 1
κατέφυγεν, ὁ δὲ Κλεόμβροτος εἰς τὸ τοῦ Ποσειδῶνος Ol. 134, 3 a. Chr 242
ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι, καὶ παρεὶς τὸν Ἆγιν ἐπὶ τοῦτον ἀνέβη στρατιώτας ἔχων καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ καὶ τὴν βασιλείαν ἀφείλετο καὶ συνεξέβαλε τῆς πατρίδος. ὁ μὲν οὖν 2
Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χιλωνίς, ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει, τότε δὲ αὖ πάλιν ταῖς τύχαις συμμεταβαλοῦσα μετὰ τοῦ ἀνδρὸς ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα τὰς χεῖρας ἐκείνῳ καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν ὑφ' αὑτὴν ἔχουσα. θαυμαζόντων δὲ πάντων 3
καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικός, ἁψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων ‛Τοῦτο' εἶπεν, ‛ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν οὐχ ὁ Κλεομβρότου περιτέθηκεν ἔλεος, ἀλλ' ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. πότερον οὖν 4

δεῖ με σοῦ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγ-
καταβιῶναι ταύταις ταῖς συμφοραῖς, ἢ λαβεῖν ἐσθῆτα
λαμπρὰν καὶ βασιλικήν, ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν παρ-
θένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε
μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν
ἢ σὺ βούλει δίκην ὑφέξει τῆς κακοβουλίας, ἐπιδὼν
5 ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. τίνι γὰρ ἐμὲ
δεῖ ζῆν παρρησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ᾗ μήτε
παρ' ἀνδρὸς δεομένῃ μήτε παρὰ πατρὸς ἔλεός ἐστιν;
ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατι-
6 μάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. τούτῳ μὲν οὖν εἰ
καί τις ἦν λόγος εὐπρεπής, ἐγὼ τοῦτον ἀφειλόμην τότε
σοὶ συνεξετασθεῖσα καὶ καταμαρτυρήσασα τῶν ὑπὸ
τούτου γενομένων· σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐ-
απολόγητον, οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων
τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν
καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον.'
7 Ἡ μὲν Χιλωνὶς τοιαῦτα ποτνιωμένη τό τε πρόσω-
πον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ Κλεομβρότου καὶ
τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης
8 περιήνεγκεν εἰς τοὺς παρόντας. ὁ δὲ Λεωνίδας δια-
λεχθεὶς τοῖς φίλοις τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν
ἀναστάντα φεύγειν, τῆς δὲ παιδὸς μένειν ἐδεῖτο καὶ
μὴ καταλιπεῖν ἑαυτὸν οὕτω φιλοῦντα καὶ δεδωκότα
9 χάριν τὴν τοῦ ἀνδρὸς αὐτῇ σωτηρίαν. οὐ μὴν ἔπεισεν,
ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγ-
χειρίσασα, θάτερον δ' ἀναλαβοῦσα καὶ προσκυνήσασα
τὸν βωμὸν τοῦ θεοῦ συνεξῆλθεν, ὥστε, εἰ μὴ πάνυ
διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐ-
τύχημα ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας
μεῖζον εἶναι διὰ τὴν γυναῖκα.

VII. Cratesicleae, Cleomenis matris, constantia.

(Plutarch. Cleom. 22. cf. fasc. IV p. 22.)

Cleomenes III, rex Lacedaemoniorum (a. 235—221), non solum in rebus domesticis restaurandis Agidis exemplum imitatus sed etiam totam Peloponnesum foedere secum coniungere conatus est. qua in re societas Achaica praetorque Aratus cum frustra ei obstitissent, Antigonum regem Macedonum in auxilium advocaverunt, qui Arcadiae compluribus urbibus (in his Tegea) expugnatis Cleomenem ad Sellasiam (Ol. 139, 4. a. Chr. 221) omnino devicit, ut cum paucis, qui ex caede evasissent, Aegyptum ad Ptolomaeum, quem iam antea matre liberisque obsidibus missis ad partes suas trahere studuerat, fugere cogeretur, ubi per vim retentus post multas miserias a Ptolomaeo Chrysermi filio proditus et de spe sui liberandi depulsus ipse se interfecit. Vid. p. 29.

Οὕτω δ' αὐτῷ πεπραχότι κατὰ τὴν στρατείαν καὶ 1
ἀπαγαγόντι τὴν δύναμιν ἑσπέρας ἤδη περὶ Τεγέαν
ἀφίκοντό τινες ἐκ Λακεδαίμονος οὐκ ἐλάττονα τῆς ἐν
χερσὶ δυστυχίαν ἀπαγγέλλοντες τεθνάναι τὴν γυναῖκα,
δι' ἣν οὐδὲ ταῖς πάνυ κατορθουμέναις ἐκεῖνος ἐνεκαρ-
τέρει στρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς Σπάρ-
την, ἐρῶν τῆς Ἀγιάτιδος καὶ περὶ πλείστου ποιούμενος
ἐκείνην. ἐπλήγη μὲν οὖν καὶ ἤλγησεν, ὡς εἰκὸς ἦν 2
νέον ἄνδρα καλλίστης καὶ σωφρονεστάτης ἀφῃρημένον
γυναικός, οὐ μὴν κατῄσχυνεν οὐδὲ προήκατο τῷ πάθει
τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς, ἀλλὰ καὶ φω-
νὴν καὶ σχῆμα καὶ μορφὴν ἐν ᾧ πρότερον εἶχεν ἤθει
διαφυλάττων τά τε προστάγματα τοῖς ἡγεμόσιν ἐδίδου
καὶ περὶ τῆς ἀσφαλείας τῶν Τεγεατῶν ἐφρόντιζεν. ἅμα 3
δὲ ἡμέρᾳ κατέβαινεν εἰς Λακεδαίμονα καὶ μετὰ τῆς
μητρὸς οἴκοι καὶ τῶν παίδων ἀπαλγήσας τὸ πένθος
εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. ἐπεὶ δὲ 4
Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπαγγελλόμενος
αὐτῷ βοήθειαν ἠξίου λαβεῖν ὅμηρα τοὺς παῖδας καὶ

τὴν μητέρα, χρόνον μὲν συχνὸν ᾐσχύνετο φράσαι τῇ
μητρὶ καὶ πολλάκις εἰσελθὼν καὶ πρὸς αὐτῷ γενόμενος
τῷ λόγῳ κατεσιώπησεν, ὥστε κἀκείνην ὑπονοεῖν καὶ
παρὰ τῶν φίλων αὐτοῦ διαπυνθάνεσθαι, μή τι κατοκνεῖ
5 βουλόμενος ἐντυχεῖν αὐτῇ. τέλος δὲ τοῦ Κλεομένους
ἀποτολμήσαντος εἰπεῖν, ἐξεγέλασέ τε μέγα καί 'Τοῦτο
ἦν' εἶπεν 'ὃ πολλάκις ὁρμήσας λέγειν ἀπεδειλίασας;
οὐ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποστελεῖς, ὅπου
ποτὲ τῇ Σπάρτῃ νομίζεις τὸ σῶμα τοῦτο χρησιμώτατον
ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτοῦ καθήμενον διαλυθῆ-
6 ναι;' πάντων οὖν ἑτοίμων γενομένων ἀφίκοντο μὲν
εἰς Ταίναρον πεζῇ καὶ προὔπεμψεν ἡ δύναμις αὐτοὺς
ἐν τοῖς ὅπλοις· μέλλουσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ
Κρατησίκλεια τὸν Κλεομένη μόνον εἰς τὸν νεὼν τοῦ
Ποσειδῶνος ἀπήγαγε καὶ περιβαλοῦσα καὶ κατασπασα-
μένη διαλγοῦντα καὶ συντεταραγμένον '"Αγε', εἶπεν, 'ὦ
βασιλεῦ Λακεδαιμονίων, ὅπως, ἐπὰν ἔξω γενώμεθα,
μηδεὶς ἴδῃ δακρύοντας ἡμᾶς μηδὲ ἀνάξιόν τι τῆς Σπάρ-
της ποιοῦντας. τοῦτο γὰρ ἐφ' ἡμῖν μόνον· αἱ τύχαι
7 δέ, ὅπως ἂν ὁ δαίμων διδῷ, πάρεισι.' ταῦτα δ' εἰ-
ποῦσα καὶ καταστήσασα τὸ πρόσωπον ἐπὶ τὴν ναῦν
ἐχώρει τὸ παιδίον ἔχουσα καὶ διὰ τάχους ἐκέλευσεν
8 ἀπαίρειν τὸν κυβερνήτην. ἐπεὶ δὲ εἰς Αἴγυπτον ἀφί-
κετο καὶ τὸν Πτολεμαῖον ἐπύθετο λόγους παρ' Ἀντιγό-
νου καὶ πρεσβείας δεχόμενον, περὶ δὲ τοῦ Κλεομένους
ἤκουσεν, ὅτι τῶν Ἀχαιῶν προκαλουμένων αὐτὸν εἰς
διαλύσεις φοβοῖτο δι' ἐκείνην ἄνευ Πτολεμαίου κατα-
θέσθαι τὸν πόλεμον, ἐπέστειλεν αὐτῷ τὰ τῇ Σπάρτῃ
πρέποντα καὶ συμφέροντα πράττειν καὶ μὴ διὰ μίαν
γραῦν καὶ παιδάριον ἀεὶ δεδιέναι Πτολεμαῖον. αὕτη
μὲν οὖν παρὰ τὰς τύχας τοιαύτη λέγεται γεγενῆσθαι.

VIII. Cleomenis regis Lacedaemoniorum mors et Pantei uxoris virtus.

(Plutarch. Cleom. 37. 38. cf. fasc. IV p. 22 et supra p. 27.)

Ἐπεὶ κατὰ τύχην ὁ Πτολεμαῖος εἰς Κάνωβον ἐξώρ- 1
μησε, πρῶτον μὲν διέδωκεν ὁ Κλεομένης λόγον, ὡς Ol. 140, 3 a. Chr. 218
παραλύοιτο τῆς φυλακῆς ὑπὸ τοῦ βασιλέως· ἔπειτα ἐκ τινος ἔθους βασιλικοῦ τοῖς μέλλουσιν ἐξ εἱρκτῆς ἀπολύεσθαι δείπνου τε πεμπομένου καὶ ξενίων οἱ φίλοι πολλὰ τοιαῦτα τῷ Κλεομένει παρασκευάσαντες ἔξωθεν εἰσέπεμψαν, ἐξαπατῶντες τοὺς φύλακας οἰομένους ὑπὸ τοῦ βασιλέως ἀπεστάλθαι. καὶ γὰρ ἔθυε καὶ μετεδίδου τούτων ἀφθόνως αὐτοῖς καὶ ἐπιτιθεὶς στεφάνους καὶ κατακλιθεὶς εἱστιᾶτο μετὰ τῶν φίλων. λέγεται δὲ τά- 2
χιον ἢ διεγνώκει πρὸς τὴν πρᾶξιν ὁρμῆσαι, συναισθόμενος οἰκέτην ἕνα τῶν συνειδότων τὴν πρᾶξιν ἔξω παρὰ γυναικὶ κεκοιμημένον, ἧς ἤρα. καὶ φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν καὶ τοὺς φύλακας ᾔσθετο καθεύδοντας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτῶνα καὶ τὴν ῥαφὴν ἐκ τοῦ δεξιοῦ παραλυσάμενος ὤμου, γυμνῷ τῷ ξίφει μετὰ τῶν φίλων ἐξεπήδησεν ἐνεσκευασμένων ὁμοίως, δεκατριῶν ὄντων. Ἱππίτας δὲ 3
χωλὸς ὢν τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως, ὡς δὲ ἑώρα σχολαίτερον πορευομένους δι' αὐτόν, ἐκέλευσεν ἀνελεῖν καὶ μὴ διαφθείρειν τὴν πρᾶξιν, ἄχρηστον ἄνθρωπον περιμένοντας. ἔτυχε δὲ τῶν Ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ τὰς θύρας· τοῦτον ἀφελόμενοι καὶ τὸν Ἱππίταν ἀναβαλόντες ἐφέροντο δρόμῳ διὰ τῶν στενωπῶν καὶ παρεκάλουν τὸν ὄχλον ἐπὶ τὴν ἐλευθερίαν. τοῖς δὲ τοσοῦτον, ὡς ἔοικεν, ἀλκῆς μετῆν, 4
ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ Κλεομένους τόλμαν, ἀκολουθεῖν δὲ καὶ βοηθεῖν οὐδεὶς ἐθάρρει. τὸν 5

*μὲν οὖν τοῦ Χρυσέρμου Πτολεμαῖον ἐκ τῆς αὐλῆς
ἐξιόντα τρεῖς εὐθὺς προσπεσόντες ἀπέκτειναν· ἑτέρου
δὲ Πτολεμαίου τοῦ φυλάσσοντος τὴν πόλιν ἐλαύνοντος
ἅρματι πρὸς αὐτοὺς ὁρμήσαντες ἐναντίοι τοὺς μὲν
ὑπηρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατα-
6 σπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. εἶτα πρὸς τὴν
ἄκραν ἐχώρουν ἀναρρῆξαι διανοούμενοι τὸ δεσμωτήριον
καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. ἔφθασαν δὲ
φραξάμενοι καλῶς οἱ φύλακες, ὥστε καὶ ταύτης ἀπο-
κρουσθέντα τῆς πείρας τὸν Κλεομένη διαφέρεσθαι καὶ
πλανᾶσθαι κατὰ τὴν πόλιν, οὐδενὸς αὐτῷ προσχωροῦν-
7 τος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. οὕτως
οὖν ἀποστὰς καὶ πρὸς τοὺς φίλους εἰπὼν 'Οὐδὲν ἦν
ἄρα θαυμαστὸν ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων
τὴν ἐλευθερίαν', παρεκάλεσε πάντας ἀξίως αὐτοῦ καὶ
8 τῶν πεπραγμένων τελευτᾶν. καὶ πρῶτος μὲν Ἱππίτας
ὑπὸ τῶν νεωτέρων τινὸς ἐπλήγη δεηθείς, ἔπειτα τῶν
ἄλλων ἕκαστος εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀποσφάττει,
πλὴν Παντέως τοῦ πρώτου Μεγάλην πόλιν καταλαβόν-
τος. τοῦτον δὲ κάλλιστον ὥρᾳ καὶ πρὸς τὴν ἀγωγὴν
εὐφυέστατον τῶν νέων γενόμενον ἐρώμενον ἐσχηκὼς ὁ
βασιλεὺς ἐκέλευσεν, ὅταν αὐτόν τε καὶ τοὺς ἄλλους
9 ἴδῃ πεπτωκότας, οὕτω τελευτᾶν. ἤδη δὲ κειμένων ἁπάν-
των ἐπιπορευόμενος ὁ Παντεὺς καὶ τῷ ξιφιδίῳ παρ-
απτόμενος καθ' ἕκαστον ἀπεπειρᾶτο, μή τις διαλανθάνοι
ζῶν. ἐπεὶ δὲ καὶ τὸν Κλεομένη νύξας παρὰ τὸ σφυρὸν
εἶδε συστρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτόν, εἶτα
παρεκάθισε· καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν τὸν νε-
κρὸν ἑαυτὸν ἐπικατέσφαξε.*

10 *Κλεομένης μὲν οὖν ἑκκαίδεκα τῆς Σπάρτης βασι-
λεύσας ἔτη καὶ τοιοῦτος ἀνὴρ γενόμενος οὕτω κατ-*

ἔστρεψε. τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδα-
σθείσης ἡ μὲν Κρατησίκλεια, καίπερ οὖσα γενναία
γυνή, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς
μέγεθος, καὶ περιβαλοῦσα τὰ παιδία τοῦ Κλεομένους
ὠλοφύρετο. τῶν δὲ παιδίων τὸ πρεσβύτερον ἀποπη-
δῆσαν οὐδενὸς ἂν προσδοκήσαντος ἀπὸ τοῦ τέγους ἐπὶ
κεφαλὴν ἔρριψεν ἑαυτό· καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν
ἀπέθανεν, ἀλλ' ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ
διακωλύεσθαι τελευτᾶν. ὁ δὲ Πτολεμαῖος, ὡς ἔγνω 11
ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ Κλεομένους κρε-
μάσαι καταβυρσώσαντας, ἀποκτεῖναι δὲ τὰ παιδία καὶ
τὴν μητέρα καὶ τὰς περὶ αὐτὴν γυναῖκας. ἐν δὲ ταύ- 12
ταις ἦν καὶ Παντέως γυνὴ καλλίστη καὶ γενναιοτάτη
τὸ εἶδος. ἔτι δὲ αὐτοῖς νεογάμοις οὖσιν ἐν ἀκμαῖς
ἐρώτων αἱ τύχαι συνέβησαν. εὐθὺς μὲν οὖν συνεκ-
πλεῦσαι τῷ Παντεῖ βουλομένην αὐτὴν οὐκ εἴασαν οἱ
γονεῖς, ἀλλὰ βίᾳ κατακλείσαντες ἐφύλαττον· ὀλίγῳ δὲ
ὕστερον ἵππον ἑαυτῇ παρασκευάσασα καὶ χρυσίδιον οὐ
πολὺ νυκτὸς ἀπέδρα καὶ διώξασα συντόνως ἐπὶ Ταί-
ναρον ἐκεῖθεν ἐπέβη νεὼς εἰς Αἴγυπτον πλεούσης· καὶ
διεκομίσθη πρὸς τὸν ἄνδρα καὶ συνδιήνεγκεν αὐτῷ
τὸν ἐπὶ ξένης βίον ἀλύπως καὶ ἱλαρῶς. αὕτη τότε τὴν 13
Κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην ἐχειρα-
γώγει, τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαρ-
ρεῖν παρακαλοῦσα μηδέν τι μηδ' αὐτὴν ἐκπεπληγμένην
τὸν θάνατον, ἀλλ' ἓν μόνον αἰτουμένην, πρὸ τῶν παι-
δίων ἀποθανεῖν. ἐπεὶ δὲ ἦλθον εἰς τὸν τόπον, ἐν ᾧ 14
ταῦτα δρᾶν εἰώθεσαν οἱ ὑπηρέται, πρῶτον μὲν τὰ
παιδία τῆς Κρατησικλείας δρώσης ἔσφαττον, εἶτα ἐκεί-
νην, ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην
πάθεσιν 'Ὦ τέκνα, ποῖ ἐμόλετε;' ἡ δὲ Παντέως γυνή, 15

περιζωσαμένη τὸ ἱμάτιον, εὔρωστος οὖσα καὶ μεγάλη τῶν ἀποθνῃσκουσῶν ἑκάστην σιωπῇ καὶ μεθ' ἡσυχίας ἐθεράπευε καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. τέλος δὲ μετὰ πάσας ἑαυτὴν κοσμήσασα καὶ καταγαγοῦσα τὴν περιβολὴν καὶ μηδένα προσελθεῖν ἐάσασα μηδὲ θιγεῖν ἄλλον ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον, ἡρωικῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περι-
16 *καλύπτοντος μετὰ τὴν τελευτήν. οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς καὶ διεφύλαξεν ἣν ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν.*

IX. Pelopidae funus.

(Plutarch. Pelop. 33. 34. cf. fasc. IV p. 22.)

Vt Thessalos Alexandri Pheraei tyrannide liberaret, Pelopidas auxilio vocatus pugna ad Cynoscephalas commissa victor ipse occidit (Ol. 104, 1. a. Chr. 364).

1 *Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ βαρέως φέρειν, πατέρα καὶ σωτῆρα καὶ διδάσκαλον τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον, οὐ πάνυ θαυμαστὸν ἦν· οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι πᾶσαν ἀνθρωπίνῃ πρέπουσαν ἀρετῇ τιμὴν τοῖς ψηφίσμασιν ὑπερβαλόντες ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι τὴν πρὸς τὸν ἄνδρα χάριν.*
2 *τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ λέγουσι μήτε θώρακα θέσθαι μήτε ἵππον ἐκχαλινῶσαι μήτε τραῦμα δήσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου τελευτήν, ἀλλὰ μετὰ τῶν ὅπλων θερμοὺς ἰόντας ἐπὶ τὸν νεκρόν, ὥσπερ αἰσθανόμενον, τὰ τῶν πολεμίων κύκλῳ περὶ τὸ σῶμα σωρεύειν λάφυρα, κεῖραι δὲ ἵππους, κείρασθαι δὲ καὶ αὐτούς, ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς μήτε πῦρ ἀνάψαι μήτε δεῖπνον ἑλέσθαι, σιγὴν*

*δὲ καὶ κατήφειαν εἶναι τοῦ στρατοπέδου παντός, ὥσπερ
οὐ νενικηκότων ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ'
ἡττημένων ὑπὸ τοῦ τυράννου καὶ καταδεδουλωμένων.
ἐκ δὲ τῶν πόλεων, ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ* 3
*τε ἀρχαὶ καὶ μετ' αὐτῶν ἔφηβοι καὶ παῖδες καὶ ἱερεῖς
πρὸς τὴν ὑποδοχὴν τοῦ σώματος, τρόπαια καὶ στεφά-
νους καὶ πανοπλίας χρυσᾶς ἐπιφέροντες. ὡς δὲ ἔμελλεν* 4
*ἐκκομίζεσθαι τὸ σῶμα, προσελθόντες οἱ πρεσβύτατοι
τῶν Θεσσαλῶν ᾐτοῦντο τοὺς Θηβαίους δι' αὐτῶν θά-
ψαι τὸν νεκρόν. εἷς δὲ αὐτῶν ἔλεγεν· 'Ἄνδρες σύμ-
μαχοι, χάριν αἰτοῦμεν παρ' ὑμῶν κόσμον ἡμῖν ἐπὶ
ἀτυχίᾳ τοσαύτῃ καὶ παραμυθίαν φέρουσαν. οὐ γὰρ
ζῶντα Θεσσαλοὶ Πελοπίδαν προπέμψουσιν, οὐδὲ αἰσθα-
νομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν, ἀλλ' ἐὰν ψαῦσαί
τε τοῦ νεκροῦ τύχωμεν καὶ δι' αὐτῶν κοσμῆσαι καὶ
θάψαι τὸ σῶμα, δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν, ὅτι μείζων
ἡ συμφορὰ γέγονε Θετταλοῖς ἢ Θηβαίοις· ὑμῖν μὲν γὰρ* 5
*ἡγεμόνος ἀγαθοῦ μόνον, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς
ἐλευθερίας στέρεσθαι συμβέβηκε. πῶς γὰρ ἔτι τολ-
μήσομεν αἰτῆσαι στρατηγὸν ἄλλον παρ' ὑμῶν οὐκ ἀπο-
δόντες Πελοπίδαν;' ταῦτα μὲν οἱ Θηβαῖοι συνεχώ-
ρησαν.*

Ἐκείνων δὲ τῶν ταφῶν οὐ δοκοῦσιν ἕτεραι λαμ- 6
*πρότεραι γενέσθαι τοῖς τὸ λαμπρὸν οὐκ ἐν ἐλέφαντι
καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλι-
στος ὑμνῶν καὶ θαυμάζων τὴν Διονυσίου ταφήν, οἷον
τραγῳδίας μεγάλης τῆς τυραννίδος ἐξόδιον θεατρικὸν
γενομένην. Ἀλέξανδρος δὲ ὁ μέγας Ἡφαιστίωνος ἀπο-* 7
*θανόντος οὐ μόνον ἵππους ἔκειρε καὶ ἡμιόνους, ἀλλὰ
καὶ τὰς ἐπάλξεις ἀφεῖλε τῶν τειχῶν, ὡς ἂν δοκοῖεν
αἱ πόλεις πενθεῖν, ἀντὶ τῆς πρόσθεν μορφῆς κούριμον*

8 σχῆμα καὶ ἄτιμον ἀναλαμβάνουσαι. ταῦτα μὲν οὖν
προστάγματα δεσποτῶν ὄντα καὶ μετὰ πολλῆς ἀνάγκης
περαινόμενα καὶ μετὰ φθόνου τῶν τυχόντων καὶ μί-
σους τῶν βιαζομένων οὐδεμιᾶς χάριτος ἦν οὐδὲ τιμῆς,
ὄγκου δὲ βαρβαρικοῦ καὶ τρυφῆς καὶ ἀλαζονείας ἐπί-
δειξις εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν διατιθεμένων·
ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκώς, οὐ γυναικός,
οὐ παίδων, οὐ συγγενῶν παρόντων, οὐ δεομένου τινός,
οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων
ἁμιλλωμένων προπεμπόμενος καὶ συνεκκομιζόμενος καὶ
στεφανούμενος εἰκότως ἐδόκει τὸν τελειότατον ἀπέχειν
9 εὐδαιμονισμόν. οὐ γάρ, ὡς Αἴσωπος ἔφασκε, χαλεπώ-
τατός ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μα-
καριώτατος, εἰς ἀσφαλῆ χώραν τὰς εὐπραξίας κατατι-
θέμενος τῶν ἀγαθῶν καὶ τύχην μεταβάλλεσθαι μὴ
10 ἀπολείπων. διὸ βέλτιον ὁ Λάκων τὸν Ὀλυμπιονίκην
Διαγόραν ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους Ὀλυμ-
πίασιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς ἀσπασά-
μενος 'Κάτθανε' εἶπε 'Διαγόρα· οὐκ εἰς τὸν Ὄλυμπον
ἀναβήσῃ.' τὰς δὲ Ὀλυμπιακὰς καὶ Πυθικὰς νίκας οὐκ
ἄν, οἶμαι, τὶς εἰς τὸ αὐτὸ συνθεὶς ἁπάσας ἑνὶ τῶν Πε-
λοπίδου παραβαλεῖν ἀγώνων ἀξιώσειεν, οὓς πολλοὺς
ἀγωνισάμενος καὶ κατορθώσας καὶ τοῦ βίου τὸ πλεῖ-
στον ἐν δόξῃ καὶ τιμῇ βιώσας, τέλος ἐν τῇ τρισκαιδε-
κάτῃ βοιωταρχίᾳ, τυραννοκτονίᾳ μεμειγμένην ἀριστείαν
ἀριστεύων, ὑπὲρ τῆς τῶν Θεσσαλῶν ἐλευθερίας ἀπέ-
θανεν.

ISAEVS

unus ex decem oratoribus Atticis cum in ceteris causis privatis tum maxime in hereditariis floruit; qua re Demosthenes, cum tutoribus suis litem intendere in animo haberet, disciplina eius usus esse fertur.

X. De hereditate a Cleonymo relicta.

(I 1—4. 9—23. 36—39.)

De bonis a Cleonymo relictis certant sororis eius filii, qui cognatione ei sunt proximi, cum consobrinis defuncti, qui testamento nituntur (in quibus sunt Posidippus § 3 et Diocles §§ 9. 16). concedunt illi quidem testamentum esse factum, sed iudicibus persuadere conantur Cleonymum aegrotantem ab his impeditum esse, quominus testamentum illud mutaret. — §§ 4. 9. 15 dicuntur *οἱ ἄρχοντες* vel *ἡ ἀρχή* i. e. magistratus quidam, apud quos testamentum depositum erat. ad § 14 notandum est ex lege irritum esse testamentum ab homine insano factum.

Πολλὴ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, 1
τελευτήσαντος Κλεωνύμου. ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν
κατέλιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ
αὐτῆς πεποίηκε. καὶ τότε μὲν οὕτως ὑπ' αὐτοῦ σω-
φρόνως ἐπαιδευόμεθα, ὥστ' οὐδ' ἀκροασόμενοι οὐ-
δέποτ' ἤλθομεν ἐπὶ δικαστήριον, νῦν δ' ἀγωνιούμενοι
περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων· οὐ γὰρ τῶν
Κλεωνύμου μόνον ἀμφισβητοῦσιν ἀλλὰ καὶ τῶν πα-
τρῴων, ὀφείλειν ἐπὶ τούτοις ἡμᾶς ἐκείνῳ φάσκοντες
ἀργύριον. καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες οἱ 2
τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν
Κλεώνυμος κατέλιπεν, αὐτοῖς ἰσομοιρῆσαι· οὗτοι δὲ
εἰς τοῦθ' ἥκουσιν ἀναισχυντίας, ὥστε καὶ τὰ πατρῷα
προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄν-
δρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἡμῶν ἐρημίαν κατα- 3
γνόντες. σκέψασθε γάρ, οἷς ἑκάτεροι πιστεύοντες ὡς

ὑμᾶς εἰσεληλύθαμεν· οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις, ἃς ἐκεῖνος διέθετο μέν, οὐχ ἡμῖν ἐγκαλῶν ἀλλ' ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων, ἔλυσε δὲ πρὸ τοῦ θανάτου, πέμψας Ποσείδιππον ἐπὶ τὴν
4 ἀρχήν· ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω προσήκοντες, χρώμενοι δ' ἐκείνῳ πάντων οἰκειότατα, δεδωκότων δ' ἡμῖν καὶ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν καὶ αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ, ἔτι δὲ Πολυάρχου, τοῦ πατρὸς τοῦ Κλεωνύμου, πάππου δ' ἡμετέρου, προστάξαντος, εἴ τι πάθοι Κλεώνυμος ἄπαις, ἡμῖν δοῦναι τὰ αὐτοῦ.

5 Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὢν ὀρφανοὺς ὄντας. Κλεωνύμῳ δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν· πλὴν τοσοῦτόν γ' ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαίμην, ὅτι καὶ φίλοι τέως ὄντες καὶ προφάσεως οὐδεμιᾶς γενομένης ἐκ λόγων τινῶν οὕτως
6 εἰκῇ πρὸς ἀλλήλους ἔχθραν ἀνείλοντο. τότ' οὖν ἐκ ταύτης τῆς ὀργῆς Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον σαφῶς ἐδήλωσεν, ὁρῶν δ' ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον καὶ κύριον τῶν αὑτοῦ καταλιπεῖν καὶ ποιεῖν αὑτῷ τὰ νομιζόμενα τοῦτον, ἕως ἡμεῖς
7 ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν· ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ' ὀρθῶς εἴτε μή, τὰς διαθήκας ταύτας διέθετο. ὕστερον δὲ τούτων, ὃ μέγιστον ἡμῖν τεκμήριον ὅτι οὐδὲ ταῦτ' ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος·

τελευτήσαντος γὰρ Δεινίου καὶ τῶν πραγμάτων ἡμῖν πονηρῶς ἐχόντων οὐ περιεῖδεν ἡμᾶς οὐδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν εἰς τὴν οἰκίαν τὴν αὑτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι τῶν χρήστων ἐπιβουλευσάντων ἔσωσεν ἡμῖν, ἐπεμελεῖτό θ' ὁμοίως τῶν ἡμετέρων ὥσπερ τῶν αὑτοῦ πραγμάτων. καίτοι χρὴ θεωρεῖν αὐτοῦ τὴν διάνοιαν ἐκ τούτων τῶν 8
ἔργων μᾶλλον ἢ ἐκ τῶν διαθηκῶν, καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν, ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν, ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν τὴν αὑτοῦ διάνοιαν ἐποίησεν. ἔτι γὰρ μᾶλλον ἐν τοῖς τελευταίοις ἐδήλωσεν, ὡς εἶχε πρὸς ἡμᾶς. ἤδη γὰρ 9
ἀσθενῶν ταύτην τὴν νόσον, ἐξ ἧς ἐτελεύτησεν, ἐβουλήθη ταύτας τὰς διαθήκας ἀνελεῖν καὶ προσέταξε Ποσειδίππῳ τὴν ἀρχὴν εἰσαγαγεῖν. ὁ δ' οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψεν. ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος πάλιν ἐς τὴν ὑστεραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· καὶ οὐχ οὕτως ἀσθενῶς διακείμενος, ἀλλ' ἔτι πολλῶν οὐσῶν ἐλπίδων ἐξαπίνης τῆς νυκτὸς ταύτης ἀπέθανεν.

Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τῶν 10
κλήρων ἀμφισβητοῦσιν, ὅταν ἀποφήνωσι σφᾶς αὐτούς, ὥσπερ ἡμεῖς, καὶ τῷ γένει προτέρους ὄντας καὶ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους λόγους λέγειν· ἐπειδὴ δὲ τούτων οὐδέτερον ἔχοντες οὗτοι τολμῶσι τῶν οὐ προσηκόντων ἀμφισβητεῖν καὶ ψευδεῖς παρασκευάζονται λόγους, βούλομαι βραχέα καὶ περὶ τούτων αὐτῶν εἰπεῖν. ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις, λέγοντες ὡς Κλεώνυμος μετεπέμ- 11
πετο τὴν ἀρχὴν οὐ λῦσαι βουλόμενος αὐτάς, ἀλλ' ἐπ-

ανορθῶσαι καὶ βεβαιῶσαι σφίσιν αὐτοῖς τὴν δωρειάν.
ὑμεῖς δὲ σκοπεῖσθε τὰς διαθήκας τὰς μετ' ὀργῆς γενο-
μένας πότερον εἰκός ἐστι βουληθῆναι Κλεώνυμον ἀνε-
λεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ σκοπεῖν, ὅπως
12 *ἔτι βεβαιότερον ἡμᾶς ἀποστερήσει τῶν αὐτοῦ. τοῖς*
μὲν γὰρ ἄλλοις κἀκείνων, ὧν ἂν ὀργισθέντες τοὺς οἰ-
κείους ἀδικήσωσιν, ὕστερον μεταμέλει· οὗτοι δ' ἐκεῖνον
ἀποφαίνουσιν, ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο,
μᾶλλον βεβαιοῦν τὴν διαθήκην βουλόμενον, ἣν ὀργι-
ζόμενος ἐποιήσατο. ὥστ' εἰ καὶ ἡμεῖς ὁμολογήσαιμεν
ταῦτα καὶ ὑμεῖς αὐτοὶ πιστεύσαιτε, ἐνθυμεῖσθ' ὅτι
13 *παράνοιαν αὐτοῦ τὴν μεγίστην οὗτοι κατηγοροῦσι. τίς*
γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ τότε μὲν ὅτε
Δεινίᾳ διάφορος ὢν ἔτυχεν, ἡμᾶς κακῶς ποιεῖν τε καὶ
διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν οὐκ ἐκεῖνον
ἐτιμωρεῖτο, ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ
χρώμενος ἡμῖν καὶ περὶ πλείστου ποιούμενος ἁπάντων,
μόνους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς οὗτοί φασιν,
ἀκλήρους ποιῆσαι τῶν ἑαυτοῦ. καὶ τίς ἂν εὖ φρονῶν,
14 *ὦ ἄνδρες, τοιαῦτα περὶ τῶν αὑτοῦ βουλεύσαιτο; ὥστ'*
ἐκ τούτων τῶν λόγων ῥᾳδίαν ὑμῖν τὴν διάγνωσιν πε-
ποιήκασι περὶ αὐτῶν. εἰ μὲν γὰρ ἀνελεῖν τὰς διαθή-
κας βουλόμενος μετεπέμπετο τὴν ἀρχήν, ὥσπερ ἡμεῖς
φαμεν, οὐδεὶς ἔνεστι τούτοις λόγος· εἰ δ' οὕτω παρα-
φρονῶν ἔτυχεν, ὥσθ' ἡμᾶς περὶ ἐλαχίστου ποιεῖσθαι,
τοὺς γένει πρωτεύοντας καὶ χρωμένους αὐτῷ πάντων
οἰκειότατα, δικαίως ἂν δήπου τὰς τοιαύτας διαθήκας
ἀκύρους ποιήσαιτε.
15 *Ἔτι τοίνυν ἐνθυμεῖσθ', ὅτι φάσκοντες καλεῖν τὴν*
ἀρχὴν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρειάν,
προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ

*καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπ-
έπεμψαν. καὶ δυοῖν τοῖν ἐναντιωτάτοιν θάτερα μέλ-
λοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν ἢ ἐκείνῳ μὴ
ποιήσαντες ἀπεχθήσεσθαι, τὴν ἀπέχθειαν εἵλοντο μᾶλ-
λον ταύτης τῆς δωρειᾶς. καίτοι πῶς ἂν ἕτερα τούτων* 16
*γένοιτ' ἀπιστότερα; τοὺς μὲν τηλικαῦτα μέλλοντας ἐκ
τοῦ πράγματος κερδαίνειν, ὥσπερ ζημιωθησομένους,
φυλάξασθαι τὴν διακονίαν, Κλεώνυμον δ' ὑπὲρ τῆς
τούτων ὠφελείας τοσαύτην ποιήσασθαι σπουδήν, ὥστε
Ποσειδίππῳ μέν, ὅτι κατημέλησεν, ὀργισθῆναι, Διο-
κλέους δὲ ταὐτὰ πάλιν εἰς τὴν ὑστεραίαν δεηθῆναι;*

Οἶμαι δ' ὑμᾶς τὸ περὶ ἡμῶν δίκαιον σαφέστατ' 17
*ἂν παρ' αὐτῶν τούτων πυνθάνεσθαι. εἰ γάρ τις αὐ-
τοὺς ἔροιτο, διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τῶν
Κλεωνύμου, τοῦτ' ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει
ποθὲν προσήκουσι καὶ ἐκεῖνος αὐτοῖς χρόνον τιν' ἐπι-
τηδείως διέκειτο. οὐκ ἂν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον ἢ
ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες; εἴ τε γὰρ διὰ τὴν* 18
*τοῦ γένους ἀγχιστείαν δεῖ γενέσθαι τινὰς κληρονόμους,
ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴ τε διὰ τὴν φιλίαν
τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον
διακείμενον. ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ παρ' αὐ-
τῶν τούτων πυνθάνεσθαι τὸ δίκαιον. πάντων δ' ἂν* 19
*εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅταν
θάτερα τούτων ἀποφαίνωσι σφᾶς αὐτούς, ἢ γένει προ-
τέρους ὄντας ἢ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα,
ἡμᾶς δ', οἷς ἐστιν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμο-
λογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν
ἐκείνου.*

Καὶ εἰ μὲν Πολύαρχος, ὁ πατὴρ ὁ Κλεωνύμου, 20
πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε καὶ τῶν ἐπιτηδείων

ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησε θυγατέρας ἀπορουμένας καταλιπών, ἡμεῖς ἂν διὰ τὴν ἀγχιστείαν καὶ τὸν πάππον γηροτροφεῖν ἠναγκαζόμεθα καὶ τὰς Κλεωνύμου θυγατέρας ἢ λαβεῖν αὐτοὶ γυναῖκας ἢ προῖκ' ἐπιδιδόντες ἑτέροις ἐκδιδόναι, καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι καὶ ἡ παρ' ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν, ἢ ταῖς μεγίσταις ζημίαις καὶ τοῖς ἐσχά-
21 *τοις ὀνείδεσι περιπεσεῖν· εἰ δ' οὐσία κατελείφθη, δίκαιον ἡγήσεσθ' εἶναι ταύτης ἑτέρους ἡμῶν μᾶλλον κληρονομεῖν; οὐκ ἄρα δίκαι' οὐδ' ὑμῖν αὐτοῖς συμφέροντ' οὐδὲ τοῖς νόμοις ὁμολογούμενα ψηφιεῖσθε, εἰ τῶν μὲν συμφορῶν τοὺς ἐγγυτάτω γένει κοινωνεῖν ἀναγκάσετε, χρημάτων δὲ καταλειφθέντων πάντας ἀνθρώπους κυριωτέρους ἢ τούτους ποιήσετε.*

XI. Iniuriosa in domum debitoris irruptio.

([Dem.] XLVII 52—72.)

Theophemus cum falsis Euergi et Mnesibuli testimoniis perfecisset, ut is qui verba facit pecunia multaretur, aliquanto post litem aestimatam ab hoc ad argentarium venire iussus, ut pecuniam acciperet, tantum afuit ut adesset, ut cum illis suis administris pignora capiendi causa in bona debitoris sui irrumperet. — § 16: *ἐξηγηταί* sunt tres viri, qui sacra iura interpretabantur ac de legibus homicidii consulebantur. § 18: in iudicio *ἐπὶ Παλλαδίῳ* agebatur de homicidio non voluntario et de caede servorum vel peregrinorum, quod utrumque ad rem tractatam quadrat.

1 *Θεόφημος ἀντὶ τοῦ τὴν καταδίκην ἀπολαβεῖν ἀκολουθήσας ἐπὶ τὴν τράπεζαν, ἐλθών μου τὰ πρόβατα λαμβάνει ποιμαινόμενα πεντήκοντα μαλακὰ καὶ τὸν ποιμένα μετ' αὐτῶν καὶ πάντα τἀκόλουθα τῇ ποίμνῃ, ἔπειτα παῖδα διάκονον ὑδρίαν χαλκῆν ἀποφέροντ' ἀλλοτρίαν ᾐτημένην, πολλοῦ ἀξίαν. καὶ ταῦτ' ἔχουσιν*

οὐκ ἐξήρκεσεν αὐτοῖς· ἀλλ' ἐπεισελθόντες εἰς τὸ χωρίον 2
(γεωργῶ δὲ πρὸς τῷ ἱπποδρόμῳ καὶ οἰκῶ ἐνταῦθ' ἐκ μειρακίου) πρῶτον μὲν ἐπὶ τοὺς οἰκέτας ἦξαν, ὡς δ' οὗτοι διαφεύγουσιν αὐτοὺς καὶ ἄλλος ἄλλῃ ἀπεχώρησαν, ἐλθόντες πρὸς τὴν οἰκίαν καὶ ἐκβαλόντες τὴν θύραν τὴν εἰς τὸν κῆπον φέρουσαν Εὔεργός θ' ὁ ἀδελφὸς ὁ Θεοφήμου καὶ Μνησίβουλος ὁ κηδεστὴς αὐτοῦ, οἷς οὐδεμίαν δίκην ὠφλήκειν οὐδὲ προσῆκεν αὐτοὺς ἅπτεσθαι τῶν ἐμῶν οὐδενός, εἰσελθόντες ἐπὶ τὴν γυναῖκά
μου καὶ τὰ παιδία, ἐξεφορήσανθ' ὅσ' ἔθ' ὑπόλοιπά μοι 3
ἦν σκεύη ἐν τῇ οἰκίᾳ. ᾤοντο μὲν γὰρ οὐ τοσαῦτα μόνον λήψεσθαι, ἀλλὰ πολλῷ πλείω, τὴν γὰρ οὖσάν μοί ποτε κατασκευὴν τῆς οἰκίας καταλήψεσθαι· ἀλλ' ὑπὸ τῶν λειτουργιῶν καὶ τῶν εἰσφορῶν καὶ τῆς πρὸς ὑμᾶς φιλοτιμίας τὰ μὲν ἐνέχυρα κεῖται αὐτῶν, τὰ δὲ πέπραται. ὅσα δ' ἦν ἔθ' ὑπόλοιπα, πάντα λαβόντες
ᾤχοντο. πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί, ἔτυχεν 4
ἡ γυνή μου μετὰ τῶν παιδίων ἀριστῶσ' ἐν τῇ αὐλῇ, καὶ μετ' αὐτῆς τίτθη τις ἐμὴ γενομένη πρεσβυτέρα, ἄνθρωπος εὔνους καὶ πιστὴ καὶ ἀφειμένη ἐλευθέρα ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. συνῴκησε δ' ἀνδρί, ἐπειδὴ ἀφείθη ἐλευθέρα· ὡς δὲ οὗτος ἀπέθανε καὶ αὐτὴ γραῦς ἦν καὶ οὐκ ἦν αὐτὴν ὁ θρέψων, ἐπανῆκεν ὡς ἐμέ.
ἀναγκαῖον οὖν μὴ περιιδεῖν ἐνδεεῖς ὄντας μήτε τίτθην 5
γενομένην μήτε παιδαγωγόν· ἅμα δὲ καὶ τριηραρχῶν ἐξέπλεον, ὥστε καὶ τῇ γυναικὶ βουλομένῃ ἦν τοιαύτην οἰκουρὸν μετ' αὐτῆς με καταλιπεῖν. ἀριστώντων δ' ἐν τῇ αὐλῇ, ὡς ἐπεισπηδῶσιν οὗτοι καὶ καταλαμβάνουσιν αὐτὰς καὶ ἥρπαζον τὰ σκεύη, αἱ μὲν ἄλλαι θεράπαιναι (ἐν τῷ πύργῳ γὰρ ἦσαν, οὗπερ διαιτῶνται) ὡς ἤκουσαν
κραυγῆς, κλείουσι τὸν πύργον, καὶ ἐνταῦθα μὲν 6

οὐκ εἰσῆλθον, τὰ δ' ἐκ τῆς ἄλλης οἰκίας ἐξέφερον σκεύη, ἀπαγορευούσης τῆς γυναικὸς μὴ ἅπτεσθαι αὐτοῖς καὶ λεγούσης, ὅτι αὐτῆς εἴη ἐν τῇ προικὶ τετιμημένα καὶ ὅτι ʻτὰ πρόβατα ἔχετε πεντήκοντα καὶ τὸν παῖδα καὶ τὸν ποιμένα, πλείονος ἄξια ἢ κατεδικάσασθεʼ· ἀπήγγειλε γάρ τις αὐταῖς τῶν γειτόνων κόψας τὴν θύραν. ἔτι δ' ἔφη τὸ ἀργύριον αὐτοῖς κείμενον εἶναι ἐπὶ τῇ τραπέζῃ· ἠκηκόει γὰρ ἐμοῦ· ʻκἂν περιμείνητεʼ, ἔφη, ʻἢ μετέλθῃ τις ὑμῶν αὐτόν, ἔχοντες ἄπιτε τἀργύριον ἤδη· τὰ δὲ σκεύη ἐᾶτε, καὶ μηδὲν τῶν ἐμῶν φέρετε, ἄλλως τε καὶ ἔχοντες ἄξια τῆς καταδίκης.ʼ
7 *ταῦτα δὲ λεγούσης τῆς γυναικὸς οὐχ ὅπως ἐπέσχον, ἀλλὰ καὶ τῆς τίτθης τὸ κυμβίον λαβούσης παρακείμενον αὐτῇ, ἐξ οὗ ἔπινε, καὶ ἐνθεμένης εἰς τὸν κόλπον, ἵνα μὴ οὗτοι λάβοιεν, ἐπειδὴ εἶδεν ἔνδον ὄντας αὐτούς, κατιδόντες αὐτὴν οὕτω διέθεσαν ἀφαιρούμενοι τὸ κυμβίον Θεόφημος καὶ Εὔεργος ἀδελφὸς αὐτοῦ,*
8 *ὥστε ὕφαιμοι μὲν οἱ βραχίονες καὶ οἱ καρποὶ τῶν χειρῶν αὐτῆς ἐγένοντο ἀποστρεφομένης τὼ χεῖρε καὶ ἑλκομένης ὑπὸ τούτων ἀφαιρουμένων τὸ κυμβίον, ἀμυχὰς δ' ἐν τῷ τραχήλῳ εἶχεν ἀγχομένη, πελιὸν δὲ τὸ στῆθος. εἰς τοῦτο δ' ἦλθον πονηρίας, ὥσθ' ἕως ἀφείλοντο τὸ κυμβίον ἐκ τοῦ κόλπου αὐτῆς, οὐκ ἐπαύσαντ' ἄγχοντες*
9 *καὶ τύπτοντες τὴν γραῦν. ἀκούοντες δὲ οἱ θεράποντες τῶν γειτόνων τῆς κραυγῆς καὶ ὁρῶντες τὴν οἰκίαν πορθουμένην τὴν ἐμήν, οἱ μὲν ἀπὸ τῶν τεγῶν τῶν ἑαυτῶν ἐκάλουν τοὺς παριόντας, οἱ δὲ καὶ εἰς τὴν ἑτέραν ὁδὸν ἐλθόντες καὶ ἰδόντες Ἁγνόφιλον παριόντ' ἐκέλευσαν παραγενέσθαι. προσελθὼν δ' ὁ Ἁγνόφιλος προσκληθεὶς ὑπὸ τοῦ θεράποντος τοῦ Ἀνθεμίωνος, ὅς ἐστί μοι γείτων, εἰς μὲν τὴν οἰκίαν οὐκ εἰσῆλθεν (οὐ*

*γὰρ ἡγεῖτο δίκαιον εἶναι μὴ παρόντος γε τοῦ κυρίου),
ἐν δὲ τῷ τοῦ Ἀνθεμίωνος χωρίῳ ὢν ἑώρα τά τε σκεύη
ἐκφερόμενα καὶ Εὔεργον καὶ Θεόφημον ἐξιόντας ἐκ
τῆς ἐμῆς οἰκίας. οὐ μόνον τοίνυν, ὦ ἄνδρες δικασταί,* 10
*λαβόντες μου τὰ σκεύη ᾤχοντο, ἀλλὰ καὶ τὸν υἱὸν
ἦγον ὡς οἰκέτην, ἕως τῶν γειτόνων ἀπαντήσας αὐτοῖς
Ἑρμογένης εἶπεν, ὅτι υἱός μου εἴη.*

Ἐπειδὴ τοίνυν μοι ἀπηγγέλθη εἰς Πειραιᾶ τὰ γε- 11
*γενημέν' ὑπὸ τῶν γειτόνων, ἐλθὼν εἰς ἀγρὸν τούτους
μὲν οὐκέτι καταλαμβάνω, ἰδὼν δὲ τὰ ἐκ τῆς οἰκίας ἐκ-
πεφορημένα καὶ τὴν γραῦν ὡς διέκειτο, καὶ ἀκούων
τῆς γυναικὸς τὰ γενόμενα, προσελθὼν τῷ Θεοφήμῳ
τῇ ὑστεραίᾳ ἕωθεν ἐν τῇ πόλει μάρτυρας ἔχων, ἐκέ-
λευον αὐτὸν πρῶτον μὲν τὴν καταδίκην ἀπολαμβάνειν
καὶ ἀκολουθεῖν ἐπὶ τὴν τράπεζαν, ἔπειτα τὴν ἄνθρω-
πον θεραπεύειν, ἣν συνέκοψαν, καὶ ἰατρὸν εἰσάγειν,
ὃν αὐτοὶ βούλοιντο. ταῦτα δέ μου λέγοντος καὶ δια-* 12
*μαρτυρομένου, κακά με πόλλ' εἰπόντες ὁ μὲν Θεόφη-
μος ἠκολούθει μόλις, διατριβὰς ἐμποιῶν καὶ φάσκων
βούλεσθαι καὶ αὐτός τινας παραλαβεῖν μάρτυρας (ταῦτα
δ' ἔλεγε τεχνάζων τοῦ χρόνον ἐγγενέσθαι), ὁ δ' Εὔερ-
γος εὐθὺς ἐκ τῆς πόλεως μεθ' ἑτέρων ὁμοίων αὐτῷ
ἐλθὼν εἰς ἀγρὸν τὰ ὑπόλοιπα σκεύη, εἴ τινα τῇ
προτεραίᾳ ἐν τῷ πύργῳ ἦν καὶ οὐκ ἔτυχεν ἔξω ὄντα,
ἐπειδὴ δ' ἐγὼ ἦλθον διὰ τὴν χρείαν κατηνέχθη, ἐκ-
βαλὼν τὴν θύραν, ἥνπερ καὶ τῇ προτεραίᾳ ἐξέβαλον,
κακῶς ἐνεστηκυῖαν, ᾤχετό μου λαβὼν τὰ σκεύη· ᾧ
οὔτε δίκην ὠφλήκειν, οὔτε συμβόλαιον ἦν μοι πρὸς
αὐτὸν οὐδέν. ἐκτίνοντος δέ μου τῷ Θεοφήμῳ, ᾧ ὠφλή-* 13
*κειν τὴν δίκην, ἐπειδὴ ἐξέτινον πολλῶν παρόντων μαρ-
τύρων χιλίας μὲν καὶ ἑκατὸν δραχμὰς τὴν καταδίκην,*

ὀγδοήκοντα δὲ καὶ ἑκατὸν δραχμὰς καὶ τρεῖς καὶ δύ'
ὀβολὼ τὴν ἐπωβελίαν, τριάκοντα δὲ τὰ πρυτανεῖα (τῶν
γὰρ ἄλλων οὐδὲν αὐτῷ ἐπιτιμίων ὦφλον), λαβὼν τοί-
νυν παρ' ἐμοῦ ἐπὶ τῇ τραπέζῃ χιλίας τριακοσίας δέκα
τρεῖς δύ' ὀβολὼ τὸ σύμπαν κεφάλαιον, ἀπαιτοῦντος
ἐμοῦ τά τε πρόβατα καὶ τἀνδράποδα καὶ τὰ σκεύη
ἃ ἡρπάκει μου, οὐκ ἔφη ἀποδώσειν μοι, εἰ μή τις αὐ-
τὸν ἀφήσει καὶ τοὺς μετ' αὐτοῦ τῶν ἐγκλημάτων καὶ
14 τοὺς μάρτυρας τῶν ψευδομαρτυριῶν. ταῦτα δ' ἀπο-
κριναμένου αὐτοῦ, μάρτυρας μὲν ἐποιησάμην τῆς ἀπο-
κρίσεως τοὺς παρόντας, τὴν δὲ δίκην ἐξέτεισα, ὑπερή-
μερον γὰρ οὐκ ᾤμην δεῖν ἐμαυτὸν εἶναι. τὸν δ'
Εὔεργον οὐδ' ᾔδειν εἰσεληλυθότα μου εἰς τὴν οἰκίαν
ταύτῃ τῇ ἡμέρᾳ, ἀλλ' αὐτίκα ἡ δίκη ἐξετέτειστο, καὶ
εἶχεν ὁ Θεόφημος τά τε πρόβατα καὶ τἀνδράποδα
καὶ τὰ σκεύη τὰ τῇ προτεραίᾳ περιγενόμενα, καὶ ἄγ-
γελος ἦλθέ μοι λιθοκόπος τις τὸ πλησίον μνῆμ' ἐρ-
γαζόμενος, ὅτι πάλιν οἴχεται Εὔεργος τὰ ὑπόλοιπά μου
σκεύη ἐκφορήσας ἐκ τῆς οἰκίας.

15 Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, ἐπαγγείλαντός
μου αὐτῷ θεραπεύειν τὴν ἄνθρωπον, ἣν συνέκοψαν,
καὶ ἰατρὸν εἰσάγειν, οὐκ ἐφρόντιζεν, ἐγὼ αὐτὸς εἰσή-
γαγον ἰατρόν, ᾧ πόλλ' ἔτη ἐχρώμην, ὃς ἐθεράπευεν
αὐτὴν ἀρρωστοῦσαν, καὶ ἐπέδειξα ὡς εἶχεν, εἰσαγαγὼν
μάρτυρας. ἀκούσας δὲ τοῦ ἰατροῦ, ὅτι οὐδὲν ἔτ' εἴη
ἡ ἄνθρωπος, πάλιν ἑτέρους μάρτυρας παραλαβὼν τήν
τ' ἄνθρωπον ἐπέδειξα ὡς εἶχε, καὶ ἐπήγγειλα τούτοις
θεραπεύειν. ἕκτῃ τοίνυν ἡμέρᾳ ὕστερον ἢ οὗτοι εἰσ-
ῆλθον εἰς τὴν οἰκίαν, ἐτελεύτησεν ἡ τίτθη.

16 Ἐπειδὴ τοίνυν ἐτελεύτησεν, ἦλθον ὡς τοὺς ἐξηγη-
τάς, ἵνα εἰδείην, ὅ τι με χρὴ ποιεῖν περὶ τούτων, καὶ

διηγησάμην αὐτοῖς ἅπαντα τὰ γενόμενα, τήν τ' ἄφιξιν τὴν τούτων, καὶ τὴν εὔνοιαν τῆς ἀνθρώπου, καὶ ὡς εἶχον αὐτὴν ἐν τῇ οἰκίᾳ, καὶ ὡς διὰ τὸ κυμβίον, οὐκ ἀφιεῖσα, τελευτήσειεν. ἀκούσαντες δέ μου οἱ ἐξηγηταὶ ταῦτ' ἤροντό με, πότερον ἐξηγήσωνταί μοι μόνον ἢ καὶ συμβουλεύσωσιν. ἀποκριναμένου δέ μου αὐτοῖς 17
ἀμφότερα, εἶπόν μοι 'ἡμεῖς τοίνυν σοι τὰ μὲν νόμιμα ἐξηγησόμεθα, τὰ δὲ σύμφορα παραινέσομεν· πρῶτον μὲν ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφορᾷ καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι, εἴ τις προσήκων ἐστὶ τῆς ἀνθρώπου, ἔπειτα τὸ μνῆμα φυλάττειν ἐπὶ τρεῖς ἡμέρας. τάδε δὲ συμβουλεύομέν σοι· ἐπειδὴ αὐτὸς μὲν οὐ παρεγένου, ἡ δὲ γυνὴ καὶ τὰ παιδία, ἄλλοι δέ σοι μάρτυρες οὐκ εἰσίν· ὀνομαστὶ μὲν μηδενὶ προαγορεύειν, τοῖς δεδρακόσι δὲ καὶ κτείνασιν, εἶτα πρὸς τὸν βασιλέα μὴ λαγχάνειν. οὐδὲ γὰρ ἐν τῷ νόμῳ ἔστι σοι· οὐ γάρ ἐστιν 18
ἐν γένει σοι ἡ ἄνθρωπος οὐδὲ θεράπαινα, ἐξ ὧν σὺ λέγεις· οἱ δὲ νόμοι τούτων [scil. οἷς ἐν γένει ἐστὶν ἢ θεράπαινα] κελεύουσι τὴν δίωξιν εἶναι· ὥστ' εἰ διομεῖ ἐπὶ Παλλαδίῳ αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ παιδία καὶ καταράσεσθ' αὐτοῖς καὶ τῇ οἰκίᾳ, χείρων τε δόξεις πολλοῖς εἶναι, κἂν μὲν ἀποφύγῃ σ', ἐπιωρκηκέναι, ἐὰν δ' ἕλῃς, φθονήσει. ἀλλ' ὑπὲρ σεαυτοῦ καὶ τῆς οἰκίας ἀφοσιωσάμενος ὡς ῥᾷστα τὴν συμφορὰν φέρειν, ἄλλῃ δ' εἴ πῃ βούλει, τιμωροῦ.' ταῦτ' ἀκούσας ἐγὼ τῶν ἐξηγη- 19
τῶν καὶ τοὺς νόμους ἐπισκεψάμενος τοὺς τοῦ Δράκοντος ἐκ τῆς στήλης, ἐβουλευόμην μετὰ τῶν φίλων, ὅ τι χρή με ποιεῖν. συμβουλευόντων δέ μοι ταὐτά, ἃ ἐξηγήσαντό μοι οἱ ἐξηγηταί, ἃ μὲν ὑπὲρ τῆς οἰκίας προσῆκέ μοι πρᾶξαι, ἐποίησα, ἃ δ' ἐκ τῶν νόμων οὐκέτι μοι προσῆκεν, ἡσυχίαν εἶχον. οὐ γὰρ οὕτως τούτους μισῶ, ὡς ἐμαυτὸν φιλῶ.

XII. Pugnae in triviis Athenarum commissae.

a) (Lys. III 1—2. 5—20. cf. fasc. IV p. 45.)

Is qui causam dicit *τραύματος ἐκ προνοίας* ad Areopagitas arcessitus est.

1 *Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ
ἄν ποτ' αὐτὸν εἰς τοσοῦτον τόλμης ἡγησάμην ἀφικέσθαι,
ὥσθ' ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων
ὡς ἀδικούμενον ἔγκλημα ποιήσασθαι καὶ οὕτω μέγαν
καὶ σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. εἰ
μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι,
σφόδρ' ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν ὅτι καὶ παρα-
σκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίγνονται, ὥστε πολλὰ
καὶ παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν· εἰς
ὑμᾶς δ' εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι.*
2 *Ἡμεῖς γὰρ ἐπεθυμήσαμεν, ὦ βουλή, Θεοδότου,
Πλαταϊκοῦ μειρακίου, καὶ ἐγὼ μὲν εὖ ποιῶν αὐτὸν
ἠξίουν εἶναί μοι φίλον, οὗτος δ' ὑβρίζων καὶ παρανο-
μῶν ᾤετ' ἀναγκάσειν αὐτὸν ποιεῖν ὅ τι βούλοιτο. ὅσα
μὲν οὖν ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν
ἔργον εἴη λέγειν· ὅσα δ' εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν,
ἡγοῦμαι ταῦθ' ὑμῖν προσήκειν ἀκοῦσαι. πυθόμενος
γάρ, ὅτι τὸ μειράκιον ἦν παρ' ἐμοί, ἐλθὼν ἐπὶ τὴν
οἰκίαν τὴν ἐμὴν νύκτωρ μεθύων, ἐκκόψας τὰς θύρας
εἰσῆλθεν εἰς τὴν γυναικωνῖτιν, ἔνδον οὐσῶν τῆς τ'
ἀδελφῆς τῆς ἐμῆς καὶ τῶν ἀδελφιδῶν, αἳ οὕτω κοσμίως
βεβιώκασιν, ὥστε καὶ ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰ-*
3 *σχύνεσθαι. οὗτος τοίνυν εἰς τοῦτ' ἦλθεν ὕβρεως, ὥστ'
οὐ πρότερον ἠθέλησεν ἀπελθεῖν, πρὶν αὐτὸν ἡγού-
μενοι δεινὰ ποιεῖν οἱ παραγενόμενοι καὶ οἱ μετ' αὐτοῦ
ἐλθόντες ἐπὶ παῖδας κόρας καὶ ὀρφανὰς εἰσιόντα ἐξ-*

ἤλασαν βίᾳ. καὶ τοσούτου ἐδέησεν αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστ' ἐξευρών, οὗ ἐδειπνοῦμεν, ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκαλέσας γάρ μ' ἔνδοθεν, ἐπειδὴ τάχιστ' ἐξῆλθον, εὐθύς με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δ' αὐτὸν ἠμυνάμην ἐνστάς, ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει, Ἀριστοκρίτου δ', ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν, ὦ βουλή, ἡγούμενος μὲν δεινὰ πάσχειν, 4 *αἰσχυνόμενος δὲ τῇ συμφορᾷ, ἠνειχόμην καὶ μᾶλλον ᾑρούμην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην ἢ δόξαι τοῖς πολίταις ἀνόητος εἶναι, εἰδὼς ὅτι τῇ μὲν τούτου πονηρίᾳ πρέποντ' ἐστὶ τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ καταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθισμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι. οὕτω δὲ σφόδρ' ἠπορούμην ὅ τι χρησαίμην,* 5 *ὦ βουλή, τῇ τούτου παρανομίᾳ, ὥστ' ἔδοξέ μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως. λαβὼν δὴ τὸ μειράκιον (ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως. ἐπειδὴ δ' ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον Σίμωνι ἐπιλαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρότερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχόμην εἰς Πειραιᾶ, οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα τὸν Θεόδοτον καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ, ὃς ᾤκει πλησίον τῆς οἰκίας ἧς οὗτος ἐμεμίσθωτο, παρεκάλεσέ τινας τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων καὶ ἔπινον, φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν', ὁπότ' ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσειαν αὐτόν. ἐν δὲ τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ* 6 *Πειραιῶς, καὶ τρέπομαι παριὼν ὡς τὸν Λυσίμαχον· ὀλίγον δὲ χρόνον διατρίψαντες ἐξερχόμεθα. οὗτοι δ'*

ἐκπηδῶσιν ἐφ' ἡμᾶς ἤδη μεθύοντες. καὶ οἱ μέν τινες αὐτῷ τῶν παραγενομένων οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δ' οὑτοσὶ καὶ Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἷλκον τὸ μειράκιον. ὁ δὲ ῥίψας τὸ ἱμάτιον
7 *ᾤχετο φεύγων. ἐγὼ δ' ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ', ἐπειδὴ τάχιστ' ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέψεσθαι, ταῦτα διανοηθεὶς ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών· οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα ταῦθ' ὑπὸ τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον. κἀνταῦθα μέν, ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι, οὔτε τούτων οὔθ' ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κεφαλὴν οὔτ' ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὧν ἐγὼ τοὺς παραγενομένους ὑμῖν παρέξομαι μάρτυρας.* (Testimonia leguntur.)

8 *Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, καὶ ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπεσόντες ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυρόμενον. συνδραμόντων δ' ἀνθρώπων πολλῶν καὶ ἀγανακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ γιγνόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μόλωνα δὲ τὸν γναφέα καὶ ἄλλους τινὰς*
9 *ἐπαμύνειν ἐπιχειροῦντας συνέκοψαν. ἤδη δ' αὐτοῖς οὖσι παρὰ τὴν Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυγχάνω, δεινὸν δ' ἡγησάμενος εἶναι καὶ αἰσχρὸν περιιδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. οὗτοι δέ, διότι μὲν τοιαῦτα παρηνόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. μάχης δὲ γενομένης, ὦ βουλή, καὶ τοῦ μειρακίου βάλ-*

λοντος αὐτοὺς καὶ περὶ τοῦ σώματος ἀμυνομένου καὶ 10
τούτων ἡμᾶς βαλλόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ
τῆς μέθης, καὶ ἐμοῦ ἀμυνομένου, καὶ τῶν παραγενο-
μένων ὡς ἀδικουμένοις ἡμῖν ἁπάντων ἐπικουρούντων,
ἐν τούτῳ τῷ θορύβῳ συντριβόμεθα τὰς κεφαλὰς ἅπαν-
τες. καὶ οἱ μὲν ἄλλοι οἱ μετὰ τούτου παροινήσαντες,
ἐπειδὴ τάχιστά μ' εἶδον μετὰ ταῦτα, ἐδέοντό μου συγ-
γνώμην ἔχειν, οὐχ ὡς ἀδικούμενοι ἀλλ' ὡς δεινὰ πε-
ποιηκότες· καὶ ἐξ ἐκείνου τοῦ χρόνου τεττάρων ἐτῶν
παρεληλυθότων οὐδέν μοι πώποτ' ἐνεκάλεσεν οὐδείς.
Σίμων δ' οὑτοσί, ὁ πάντων τῶν κακῶν αἴτιος γενό-
μενος, οὑτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατ-
έστησεν.

b) (Dem. LIV 1. 3—12. cf. fasc. II p. 10.)

Ὑβρισθείς, ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κό- 1
νωνος τουτουὶ τοιαῦθ', ὥστε πολὺν χρόνον πάνυ μήτε
τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περι-
φεύξεσθαί με, ὑγιάνας καὶ σωθεὶς ἀπροσδοκήτως ἔλα-
χον αὐτῷ τὴν δίκην τῆς αἰκίας ταυτηνί. πάντων δὲ
τῶν φίλων καὶ τῶν οἰκείων, οἷς συνεβουλευόμην, ἔνο-
χον μὲν φασκόντων αὐτὸν ἐκ τῶν πεπραγμένων εἶναι
καὶ τῇ τῶν λωποδυτῶν ἀπαγωγῇ καὶ ταῖς τῆς ὕβρεως
γραφαῖς, συμβουλευόντων δέ μοι καὶ παραινούντων μὴ
μείζω πράγματ' ἢ δυνήσομαι φέρειν ἐπάγεσθαι, μηδ'
ὑπὲρ τὴν ἡλικίαν ὧν ἐπεπόνθειν ἐγκαλοῦντα φαίνεσθαι,
οὕτως ἐποίησα καὶ δι' ἐκείνους ἰδίαν ἔλαχον δίκην,
ἥδιστ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, θανάτου κρίνας τοῦτον.

Ἐξήλθομεν, ἔτος τουτὶ τρίτον, εἰς Πάνακτον φρου- 2
ρᾶς ἡμῖν προγραφείσης. ἐσκήνωσαν οὖν οἱ υἱεῖς οἱ a. Chr. 357 (?)
Κόνωνος ἐγγὺς ἡμῶν, ὡς οὐκ ἂν ἐβουλόμην· ἡ γὰρ

ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ προσκρούματ' ἐκεῖθεν ἡμῖν συνέβη, ἐξ ὧν δ', ἀκούσεσθε. ἔπινον ἑκάστοθ' οὗτοι τὴν ἡμέραν, ἐπειδὴ τάχιστ' ἀριστήσειαν, ὅλην, καὶ τοῦθ', ἕως περ ἦμεν ἐν τῇ φρουρᾷ, διετέλουν ποιοῦντες. ἡμεῖς δ', ὥσπερ ἐνθάδ' εἰώθειμεν, οὕτω διήγομεν καὶ ἔξω.
3 ἣν οὖν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνοι, ταύτην ἂν ἤδη παρῴνουν οὗτοι, τὰ μὲν πόλλ' εἰς τοὺς παῖδας ἡμῶν τοὺς ἀκολούθους, τελευτῶντες δὲ καὶ εἰς ἡμᾶς αὐτούς. φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιουμένους τοὺς παῖδας ἢ κακῶς λέγειν, ὅ τι τύχοιεν, ἔτυπτον καὶ τὰς ἀμίδας κατεσκεδάννυσαν καὶ ἀσελγείας καὶ ὕβρεως οὐδ' ὁτιοῦν ἀπέλειπον. ὁρῶντες δ' ἡμεῖς ταῦτα καὶ λυπούμενοι, τὸ μὲν πρῶτον ἐμεμψάμεθα, ὡς δ' ἐχλεύαζον ἡμᾶς καὶ οὐκ ἐπαύοντο, τῷ στρατηγῷ τὸ πρᾶγμ' εἴπομεν κοινῇ πάντες οἱ σύσσιτοι προσελθόντες,
4 οὐκ ἐγὼ τῶν ἄλλων ἔξω. λοιδορηθέντος δ' αὐτοῖς ἐκείνου καὶ κακίσαντος αὐτούς, οὐ μόνον περὶ ὧν εἰς ἡμᾶς ἠσέλγαινον, ἀλλὰ καὶ περὶ ὧν ὅλως ἐποίουν ἐν τῷ στρατοπέδῳ, τοσούτου ἐδέησαν παύσασθαι ἢ αἰσχυνθῆναι, ὥστ', ἐπειδὴ θᾶττον συνεσκότασεν, εὐθὺς ὡς ἡμᾶς εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ, καὶ τὸ μὲν πρῶτον κακῶς ἔλεγον, τελευτῶντες δὲ καὶ πληγὰς ἐνέτειναν ἐμοί, καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν, ὥστε καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν καὶ τῶν ἄλλων τινὰς στρατιωτῶν, οἵπερ ἐκώλυσαν μηδὲν ἡμᾶς ἀνήκεστον παθεῖν μηδ' αὐτοὺς ποιῆσαι παροινουμένους ὑπὸ τούτων.

5 Τοῦ δὲ πράγματος εἰς τοῦτο προελθόντος, ὡς δεῦρ' ἐπανήλθομεν, ἦν ἡμῖν, οἷον εἰκός, ἐκ τούτων ὀργὴ καὶ ἔχθρα πρὸς ἀλλήλους. οὐ μὴν ἔγωγε μὰ τοὺς θεοὺς ᾤμην δεῖν οὔτε δίκην λαχεῖν αὐτοῖς οὔτε λόγον ποιεῖ-

σθαι τῶν συμβάντων οὐδένα, ἀλλ' ἐκεῖν' ἁπλῶς ἐγνώ-
κειν, τὸ λοιπὸν εὐλαβεῖσθαι καὶ φυλάττεσθαι μὴ πλη-
σιάζειν τοῖς τοιούτοις. χρόνῳ δ' ὕστερον οὐ πολλῷ 6
περιπατοῦντος, ὥσπερ εἰώθειν, ἑσπέρας ἐν ἀγορᾷ μου
μετὰ Φανοστράτου τοῦ Κηφισιέως, τῶν ἡλικιωτῶν τινος,
παρέρχεται Κτησίας ὁ υἱὸς ὁ τούτου, μεθύων, κατὰ τὸ
Λεωκόριον. κατιδὼν δ' ἡμᾶς καὶ κραυγάσας, καὶ δια-
λεχθείς τι πρὸς αὑτὸν οὕτως ὡς ἂν μεθύων, ὥστε μὴ
μαθεῖν ὅ τι λέγοι, παρῆλθε πρὸς Μελίτην ἄνω. ἔπι-
νον δ' ἄρ' ἐνταῦθα (ταῦτα γὰρ ὕστερον ἐπυθόμεθα)
παρὰ Παμφίλῳ τῷ κναφεῖ Κόνων οὑτοσί, Θεότιμός
τις, Ἀρχεβιάδης, Σπίνθαρος ὁ Εὐβούλου, Θεογένης ὁ
Ἀνδρομένους, πολλοί τινες, οὓς ἐξαναστήσας ὁ Κτησίας
ἐπορεύετ' εἰς τὴν ἀγοράν. καὶ ἡμῖν συνέβαινεν ἀνα- 7
στρέφουσιν ἀπὸ τοῦ Φερρεφαττίου καὶ περιπατοῦσι
πάλιν κατ' αὐτό πως τὸ Λεωκόριον εἶναι, καὶ τούτοις
περιτυγχάνομεν. ὡς δ' ἀνεμείχθημεν, εἷς μὲν αὐτῶν,
ἀγνώς τις, τῷ Φανοστράτῳ προσπίπτει καὶ κατεῖχεν
ἐκεῖνον, Κόνων δ' οὑτοσὶ καὶ ὁ υἱὸς αὐτοῦ καὶ ὁ Ἀν-
δρομένους υἱὸς ἐμοὶ προσπεσόντες τὸ μὲν πρῶτον ἐξέ-
δυσαν, εἶθ' ὑποσκελίσαντες καὶ ῥάξαντες εἰς τὸν βόρ-
βορον οὕτω διέθηκαν ἐναλλόμενοι καὶ ὑβρίζοντες, ὥστε
τὸ μὲν χεῖλος διακόψαι, τοὺς δ' ὀφθαλμοὺς συγκλεῖσαι·
οὕτω δὲ κακῶς ἔχοντα κατέλιπον, ὥστε μήτ' ἀναστῆναι
μήτε φθέγξασθαι δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον
πολλὰ καὶ δεινὰ λεγόντων. καὶ τὰ μὲν ἄλλα καὶ 8
βλασφημίαν ἔχει τινὰ καὶ λέγειν ὀκνήσαιμ' ἂν ἐν ὑμῖν
ἔνια, ὃ δὲ τῆς ὕβρεώς ἐστι τῆς τούτου σημεῖον καὶ
τεκμήριον τοῦ πᾶν τὸ πρᾶγμ' ὑπὸ τούτου γεγενῆσθαι,
τοῦθ' ὑμῖν ἐρῶ· ᾖδε γὰρ τοὺς ἀλεκτρυόνας μιμούμενος
τοὺς νενικηκότας, οἱ δὲ κροτεῖν τοῖς ἀγκῶσιν αὐτὸν

ἠξίουν ἀντὶ πτερύγων τὰς πλευράς. καὶ μετὰ ταῦτ'
ἐγὼ μὲν ἀπεκομίσθην ὑπὸ τῶν παρατυχόντων γυμνός,
οὗτοι δ' ᾤχοντο θοἰμάτιον λαβόντες μου. ὡς δ' ἐπὶ
τὴν θύραν ἦλθον, κραυγὴ καὶ βοὴ τῆς μητρὸς καὶ τῶν
θεραπαινίδων ἦν, καὶ μόγις ποτ' εἰς βαλανεῖον ἐνεγ-
κόντες με καὶ περιπλύναντες ἔδειξαν τοῖς ἰατροῖς. ὡς
οὖν ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας
παρέξομαι.

9 Συνέβη τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ Εὐξίθεον
τουτονὶ τὸν Χολλείδην, ὄνθ' ἡμῖν συγγενῆ, καὶ Μει-
δίαν μετὰ τούτου, ἀπὸ δείπνου ποθὲν ἀπιόντας περι-
τυχεῖν πλησίον ὄντι μοι τῆς οἰκίας ἤδη καὶ εἰς τὸ
βαλανεῖον φερομένῳ παρακολουθῆσαι καὶ ἰατρὸν ἄγουσι
παραγενέσθαι. οὕτω δ' εἶχον ἀσθενῶς, ὥσθ', ἵνα μὴ
μακρὰν φεροίμην οἴκαδ' ἐκ τοῦ βαλανείου, ἐδόκει τοῖς
παροῦσιν ὡς τὸν Μειδίαν ἐκείνην τὴν ἑσπέραν κομί-
10 σαι, καὶ ἐποίησαν οὕτω. τότε μὲν τοίνυν παραχρῆμ'
ὑπὸ τῶν πληγῶν ὧν ἔλαβον καὶ τῆς ὕβρεως οὕτω διετέ-
θην, ὡς ἀκούετε καὶ μεμαρτύρηται παρὰ πάντων ὑμῖν
τῶν εὐθὺς ἰδόντων. μετὰ δὲ ταῦτα τῶν μὲν οἰδημά-
των τῶν ἐν τῷ προσώπῳ καὶ τῶν ἑλκῶν οὐδὲν ἔφη
φοβεῖσθαι λίαν ὁ ἰατρός, πυρετοὶ δὲ παρηκολούθουν
μοι συνεχεῖς καὶ ἀλγήμαθ' ὅλου μὲν τοῦ σώματος πάνυ
σφοδρὰ καὶ δεινά, μάλιστα δὲ τῶν πλευρῶν καὶ τοῦ
11 ἤτρου, καὶ τῶν σιτίων ἀπεκεκλείμην. καὶ ὡς μὲν ὁ
ἰατρὸς ἔφη, εἰ μὴ κάθαρσις αἵματος αὐτομάτη μοι πάνυ
πολλὴ συνέβη περιωδύνῳ τ' ὄντι καὶ ἀπορουμένων
ἤδη, κἂν ἔμπυος γενόμενος διεφθάρην· νῦν δὲ τοῦτ'
ἔσωσε τὸ αἷμ' ἀποχωρῆσαν. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ
λέγω, καὶ παρηκολούθησέ μοι τοιαύτη νόσος, ἐξ ἧς εἰς
τοὔσχατον ἦλθον, ἐξ ὧν ὑπὸ τούτων ἔλαβον πληγῶν,

λέγε τὴν τοῦ ἰατροῦ μαρτυρίαν καὶ τὴν τῶν ἐπισκοπούντων. (Leguntur testimonia.)

XIII. Actio aquae pluviae arcendae.

(Dem. LV 3—30. cf. fasc. II p. 10.)

Pater eius qui causam dicit, cum fundum suum muro circumdaret, aquam pluviam ab eo in viam duxerat. multis annis post Callicles vicinus filio actionem damni (δίκη βλάβης) intendit, quod aqua illo muro in fundum suum coacta effundi magnum ibi fecisset damnum. Callicli adest Callicratides frater.

Τὸ χωρίον τοῦτο περιῳκοδόμησεν ὁ πατὴρ μικροῦ 1
δεῖν πρὶν ἐμὲ γενέσθαι, ζῶντος μὲν ἔτι Καλλιππίδου
τοῦ τούτων πατρὸς καὶ γειτνιῶντος, ὃς ἀκριβέστερον
ᾔδει δήπου τούτων, ὄντος δὲ Καλλικλέους ἀνδρὸς ἤδη
καὶ ἐπιδημοῦντος Ἀθήνησιν. καὶ πλέον μὲν ἢ πεντε- 2
καίδεκ' ἔτη τοῦ πατρὸς ἐπιβιόντος, οὐκ ἐλάττω δὲ τοῦ
τούτων πατρός, ἐν τούτοις τοῖς ἔτεσιν ἅπασιν οὔτ'
ἐγκαλῶν οὐδεὶς πώποτ' ἦλθεν οὔτε μεμφόμενος (καίτοι
δῆλον ὅτι καὶ τόθ' ὕδατα πολλάκις ἐγένετο), οὐδ'
ἐκώλυσεν ἐξ ἀρχῆς, εἴπερ ἠδίκει τινὰ περιοικοδομῶν
ὁ πατὴρ τὸ χωρίον, ἀλλ' οὐδ' ἀπηγόρευσεν οὐδὲ διε-
μαρτύρατο. καίτοι, ὦ Καλλίκλεις, ἐξῆν δήπου τόθ' 3
ὑμῖν, ὁρῶσιν ἀποικοδομουμένην τὴν χαράδραν, ἐλθοῦ-
σιν εὐθὺς ἀγανακτεῖν καὶ λέγειν πρὸς τὸν πατέρα
'Τισία, τί ταῦτα ποιεῖς; ἀποικοδομεῖς τὴν χαράδραν;
εἶτ' ἐμπεσεῖται τὸ ὕδωρ εἰς τὸ χωρίον τὸ ἡμέτερον',
ἵν' εἰ μὲν ἐβούλετο παύσασθαι, μηδὲν ἡμῖν ἦν δυσ-
χερὲς πρὸς ἀλλήλους, εἰ δ' ὠλιγώρησε καὶ συνέβη τι
τοιοῦτον, μάρτυσιν εἶχες τοῖς τότε παραγενομένοις χρή-
σασθαι. καὶ νὴ Δί' ἐπιδεῖξαί γέ σ' ἔδει πᾶσιν ἀνθρώ- 4
ποις χαράδραν οὖσαν, ἵνα μὴ λόγῳ μόνον, ὥσπερ νῦν,

ἀλλ' ἔργῳ τὸν πατέρ' ἀδικοῦντ' ἀπέφαινες. τούτων
τοίνυν οὐδὲν πώποτ' οὐδεὶς ποιεῖν ἠξίωσεν.

Ἐγὼ τοίνυν ἱκανὰ μὲν ἡγοῦμαι καὶ ταῦτ' εἶναι
πρὸς τὴν τούτων ἀναίδειαν· ἵνα δ' εἰδῆτ', ὦ ἄνδρες
Ἀθηναῖοι, καὶ περὶ τῶν ἄλλων, ὡς οὔθ' ὁ πατὴρ οὐ-
δὲν ἠδίκει περιοικοδομῶν τὸ χωρίον οὗτοί τε κατεψευ-
σμένοι πάντ' εἰσὶν ἡμῶν, ἔτι σαφέστερον ὑμᾶς πειρά-
5 *σομαι διδάσκειν. τοῦ γὰρ χωρίου τοῦ τ' ἐμοῦ καὶ τοῦ*
τούτων τὸ μέσον ὁδός ἐστιν, ὄρους δὲ περιέχοντος
κύκλῳ τοῖς χωρίοις τὸ καταρρέον ὕδωρ τῇ μὲν εἰς τὴν
ὁδόν, τῇ δ' εἰς τὰ χωρία συμβαίνει φέρεσθαι. καὶ δὴ
καὶ τοῦτο τὸ εἰσπῖπτον εἰς τὴν ὁδόν, ᾗ μὲν ἂν εὐοδῇ,
φέρεται κάτω κατὰ τὴν ὁδόν, ᾗ δ' ἂν ἐνστῇ τι, τηνι-
καῦτα τοῦτ' εἰς τὰ χωρί' ὑπεραίρειν ἀναγκαῖον ἤδη.
6 *καὶ δὴ καὶ κατὰ τοῦτο τὸ χωρίον, ὦ ἄνδρες δικασταί,*
γενομένης ἐπομβρίας συνέβη τὸ ὕδωρ ἐμβαλεῖν· ἀμε-
ληθὲν δ', οὔπω τοῦ πατρὸς ἔχοντος αὐτό, ἀλλ' ἀνθρώπου
δυσχεραίνοντος ὅλως τοῖς τόποις καὶ μᾶλλον ἀστικοῦ,
δὶς καὶ τρὶς ἐμβαλὸν τὸ ὕδωρ τά τε χωρί' ἐλυμήνατο
καὶ μᾶλλον ὡδοποίει. διὸ δὴ ταῦθ' ὁ πατὴρ ὁρῶν,
ὡς ἐγὼ τῶν εἰδότων ἀκούω, καὶ τῶν γειτόνων ἐπινε-
μόντων ἅμα καὶ βαδιζόντων διὰ τοῦ χωρίου, τὴν αἱ-
7 *μασιὰν περιῳκοδόμησε ταύτην. καὶ ὡς ταῦτ' ἀληθῆ*
λέγω, παρέξομαι μὲν καὶ μάρτυρας ὑμῖν τοὺς εἰδότας,
πολὺ δ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν μαρτύρων ἰσχυρό-
τερα τεκμήρια. Καλλικλῆς μὲν γάρ φησι τὴν χαράδραν
ἀποικοδομήσαντα βλάπτειν μ' αὐτόν· ἐγὼ δ' ἀποδείξω
8 *χωρίον ὂν τοῦτ', ἀλλ' οὐ χαράδραν. εἰ μὲν οὖν μὴ*
συνεχωρεῖτο ἡμέτερον ἴδιον εἶναι, τάχ' ἂν τοῦτ' ἠδι-
κοῦμεν, εἴ τι τῶν δημοσίων ᾠκοδομοῦμεν· νῦν δ' οὔτε
τοῦτ' ἀμφισβητοῦσιν, ἔστι τ' ἐν τῷ χωρίῳ δένδρα πε-

φυτευμένα, ἄμπελοι καὶ συκαῖ. καίτοι τίς ἂν ἐν χαράδρᾳ ταῦτα φυτεύειν ἀξιώσειεν; οὐδείς γε. τίς δὲ πάλιν τοὺς αὑτοῦ προγόνους θάπτειν; οὐδὲ τοῦτ' οἶμαι. ταῦτα 9
τοίνυν ἀμφότερ', ὦ ἄνδρες δικασταί, συμβέβηκεν· καὶ γὰρ τὰ δένδρα πεφύτευται πρότερον ἢ τὸν πατέρα περιοικοδομῆσαι τὴν αἱμασιάν, καὶ τὰ μνήματα παλαιὰ καὶ πρὶν ἡμᾶς κτήσασθαι τὸ χωρίον γεγενημέν' ἐστίν. καίτοι τούτων ὑπαρχόντων τίς ἂν ἔτι λόγος ἰσχυρότερος, ὦ ἄνδρες Ἀθηναῖοι, γένοιτο; τὰ γὰρ ἔργα φανερῶς ἐξελέγχει. (Testimonia leguntur.)

Ἄξιον δ', ὦ ἄνδρες δικασταί, καὶ περὶ τῶν ἄλλων, 10
ὧν εἴρηκε Καλλικλῆς, ἀκοῦσαι. καὶ σκέψασθε πρῶτον μέν, εἴ τις ὑμῶν ἑώρακεν ἢ ἀκήκοε πώποτε παρ' ὁδὸν χαράδραν οὖσαν. οἶμαι γὰρ ἐν πάσῃ τῇ χώρᾳ μηδεμίαν εἶναι· τοῦ γὰρ ἕνεκ' ἄν, ὃ διὰ τῆς ὁδοῦ τῆς δημοσίας ἔμελλε βαδιεῖσθαι φερόμενον, τούτῳ διὰ τῶν ἰδίων χωρίων χαράδραν ἐποίησέ τις; ἔπειτα τίς ἂν ὑμῶν εἴτ' ἐν ἀγρῷ νὴ Δί' εἴτ' ἐν ἄστει τὸ διὰ τῆς ὁδοῦ ῥέον ὕδωρ εἰς τὸ χωρίον ἢ τὴν οἰκίαν δέξαιτ' ἄν; ἀλλ' οὐκ αὐτὸ τοὐναντίον, κἂν βιάσηταί ποτ', ἀποφράττειν ἅπαντες καὶ παροικοδομεῖν εἰώθαμεν; οὗ- 11
τος τοίνυν ἀξιοῖ μ' ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ εἰσδεξάμενον εἰς τὸ ἐμαυτοῦ χωρίον, ὅταν τὸ τούτου παραλλάξῃ χωρίον, πάλιν εἰς τὴν ὁδὸν ἐξαγαγεῖν. οὐκοῦν πάλιν ὁ μετὰ τοῦτόν μοι γεωργῶν τῶν γειτόνων ἐγκαλεῖ· τὸ γὰρ ὑπὲρ τούτου δίκαιον δῆλον ὅτι κἀκείνοις ὑπάρξει πᾶσι λέγειν. ὅπου δὲ μήτ' εἰς τὴν ὁδὸν μήτ' εἰς τὰ χωρί' ἀφιέναι μοι τὸ ὕδωρ ἐξέσται δεξαμένῳ, τί λοιπόν, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν; οὐ γὰρ ἐκπιεῖν γε δήπου με Καλλικλῆς αὐτὸ προσαναγκάσει. εἰ μὲν 12
γὰρ ἦν, ὦ ἄνδρες δικασταί, χαράδρα πάλιν ὑποδεχο-

*μένη, τάχ᾽ ἂν ἠδίκουν ἐγὼ μὴ δεχόμενος, ὥσπερ ἀν᾽
ἕτερ᾽ ἄττα τῶν χωρίων εἰσὶν ὁμολογούμεναι χαράδραι·
καὶ ταύταις δέχονται μὲν οἱ πρῶτοι τοὺς ἐκ τῶν οἰκιῶν
χειμάρρους, παρὰ τούτων δ᾽ ἕτεροι παραλαμβάνουσιν
ὡσαύτως· ταύτῃ δ᾽ οὔτε παραδίδωσιν οὐδεὶς οὔτε παρ᾽
ἐμοῦ παραλαμβάνει. πῶς ἂν οὖν εἴη τοῦτο χαράδρα;
13 τὸ δ᾽ εἰσπεσὸν ὕδωρ ἔβλαψε μέν, οἶμαι, πολλάκις ἤδη
πολλοὺς μὴ φυλαξαμένους, ἔβλαψε δὲ καὶ νῦν τοῦτον.
ὃ καὶ πάντων ἐστὶ δεινότατον, εἰ Καλλικλῆς μὲν εἰς
τὸ χωρίον εἰσπεσόντος τοῦ ὕδατος ἁμαξιαίους λίθους
προσκομίσας ἀποικοδομεῖ, τοῦ δὲ πατρός, ὅτι τοῦτο
παθόντος τοῦ χωρίου περιῳκοδόμησεν, ὡς ἀδικοῦντος
ἐμοὶ βλάβης εἴληχε δίκην. καίτοι εἰ ὅσοι κακῶς πεπόν-
θασιν ὑπὸ τῶν ὑδάτων τῶν ταύτῃ ῥεόντων ἐμοὶ λήξον-
ται δίκας, οὐδὲ πολλαπλάσια γενόμενα τὰ ὄντ᾽ ἐξαρκέ-
14 σειεν ἄν μοι. τοσοῦτον τοίνυν διαφέρουσιν οὗτοι τῶν
ἄλλων, ὥστε πεπονθότες μὲν οὐδέν, ὡς αὐτίχ᾽ ὑμῖν
ἐγὼ σαφῶς ἐπιδείξω, πολλῶν δὲ πολλὰ καὶ μεγάλα
βεβλαμμένων, μόνοι δικάζεσθαι τετολμήκασιν οὗτοί μοι.
οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί, τούτους μὲν μηδὲν
ἐγκαλεῖν μοι τοσαῦτα βεβλαμμένους, μηδ᾽ ἄλλον μηδένα
τῶν ἠτυχηκότων, ἀλλὰ τὴν τύχην στέργειν, τουτονὶ δὲ
συκοφαντεῖν; ὃν ὅτι μὲν αὐτὸς ἐξημάρτηκε, πρῶτον
μὲν τὴν ὁδὸν στενοτέραν ποιήσας, ἐξαγαγὼν ἔξω τὴν
αἱμασιάν, ἵνα τὰ δένδρα τῆς ὁδοῦ ποιήσειεν εἴσω, ἔπειτα
δὲ τὸν χλῆδον ἐκβαλὼν εἰς τὴν ὁδόν, ἐξ ὧν ὑψηλο-
τέραν αὐτὴν καὶ στενοτέραν πεποιῆσθαι συμβέβηκεν,
15 ἐκ τῶν μαρτυριῶν αὐτίκ᾽ εἴσεσθε σαφέστερον· ὅτι δ᾽
οὐδὲν ἀπολωλεκὼς οὐδὲ καταβεβλαμμένος ἄξιον λόγου
τηλικαύτην μοι δίκην εἴληχε, τοῦθ᾽ ὑμᾶς ἤδη πειρά-
σομαι διδάσκειν. τῆς γὰρ μητρὸς τῆς ἐμῆς χρωμένης*

τῇ τούτων μητρί, πρὶν τούτους ἐπιχειρῆσαί με συκοφαντεῖν, καὶ πρὸς ἀλλήλας ἀφικνουμένων, οἷον εἰκὸς ἅμα μὲν ἀμφοτέρων οἰκουσῶν ἐν ἀγρῷ καὶ γειτνιωσῶν, ἅμα δὲ τῶν ἀνδρῶν χρωμένων ἀλλήλοις ἕως ἔζων, ἐλθούσης δὲ τῆς ἐμῆς μητρὸς ὡς τὴν τούτων καὶ ἀποδυρομένης ἐκείνης τὰ συμβάντα καὶ δεικνυούσης, οὕτως ἐπυθόμεθα πάνθ' ἡμεῖς, ὦ ἄνδρες δικασταί· καὶ λέγω 16
μὲν ἅπερ ἤκουσα τῆς μητρός· οὕτω μοι πόλλ' ἀγαθὰ γένοιτο, εἰ δὲ ψεύδομαι, τἀναντία τούτων· ἦ μὴν ὁρᾶν καὶ τῆς τούτων μητρὸς ἀκούειν ἔφη κριθῶν μὲν βρεχθῆναι, καὶ ξηραινομένους ἰδεῖν αὐτήν, μηδὲ τρεῖς μεδίμνους, ἀλεύρων δ' ὡς ἡμιμέδιμνον· ἐλαίου δ' ἀποκλιθῆναι μὲν κεράμιον φάσκειν, οὐ μέντοι παθεῖν γ' οὐδέν. τοσαῦτ', ὦ ἄνδρες δικασταί, τὰ συμβάντ' ἦν τούτοις, ἀνθ' ὧν ἐγὼ χιλίων δραχμῶν δίκην ἀτίμητον φεύγω.

Εἶτα τούτων ἀναισχυντότεροι γένοιντ' ἂν ἄνθρω- 17
ποι ἢ περιφανέστερον συκοφαντοῦντες, οἵτινες αὐτοὶ τὴν αἱμασιὰν προαγαγόντες καὶ τὴν ὁδὸν ἀνακεχωκότες ἑτέροις βλάβης δικάζονται, καὶ ταῦτα χιλίων δραχμῶν ἀτίμητον, οἳ γ' οὐδὲ πεντήκοντα δραχμῶν τὸ παράπαν ἅπαντ' ἀπολωλέκασι; καίτοι σκοπεῖτ', ὦ ἄνδρες δικασταί, πόσους ὑπὸ τῶν ὑδάτων ἐν τοῖς ἀγροῖς βεβλάφθαι συμβέβηκε, τὰ μὲν Ἐλευσῖνι, τὰ δ' ἐν τοῖς ἄλλοις τόποις. ἀλλ' οὐ δήπου τούτων, ὦ γῆ καὶ θεοί, παρὰ τῶν γειτόνων ἕκαστος ἀξιώσει τὰς βλάβας κομίζεσθαι. καὶ ἐγὼ μέν, ὃν προσῆκεν ἀγα- 18
νακτεῖν τῆς ὁδοῦ στενοτέρας γεγενημένης καὶ μετεωροτέρας, ἡσυχίαν ἔχω· τούτοις δὲ τοσοῦτον περίεστιν, ὡς ἔοικεν, ὥστε τοὺς ἠδικημένους προσσυκοφαντοῦσιν. καίτοι, ὦ Καλλίκλεις, εἰ καὶ ὑμῖν περιοικοδομεῖν ἔξεστι

τὸ ὑμέτερον αὐτῶν χωρίον, καὶ ἡμῖν δήπου τὸ ἡμέ-
τερον ἐξῆν. εἰ δ' ὁ πατὴρ ὁ ἐμὸς ἠδίκει περιοικοδο-
μῶν ὑμᾶς, καὶ νῦν ὑμεῖς μ' ἀδικεῖτε περιοικοδομοῦντες
19 οὕτως· δῆλον γὰρ ὅτι μεγάλοις λίθοις ἀποικοδομηθέντος
πάλιν τὸ ὕδωρ εἰς τὸ ἐμὸν ἥξει χωρίον, εἶθ' ὅταν
τύχῃ καταβαλεῖ τὴν αἱμασιὰν ἀπροσδοκήτως. ἀλλ' οὐδὲν
μᾶλλον ἐγκαλῶ τούτοις ἐγὼ διὰ τοῦτο, ἀλλὰ στέρξω
τὴν τύχην καὶ τἀμαυτοῦ φυλάττειν πειράσομαι. καὶ γὰρ
τοῦτον φράττοντα μὲν τὰ ἑαυτοῦ σωφρονεῖν ἡγοῦμαι,
δικαζόμενον δέ μοι πονηρότατόν τ' εἶναι καὶ διεφθαρ-
μένον ὑπὸ νόσου νομίζω.

XIV. Fraudes quorundam Phaselitarum.

([Dem.] XXXV 1—43.

Feneratores Athenienses consueverant pecuniam suam in negotiationibus maritimis collocare certis quibusdam condicionibus, quae erant legibus circumscriptae (συγγραφὴ ναυτική): in quibus erat primaria, ut navis, quae merces oppigneratas Piraeo exportaret, coemptis rebus onerata in portum rediret. talis pactionis exemplum hac oratione exhibetur.

1 Οὐδὲν καινὸν διαπράττονται οἱ Φασηλῖται, ὦ ἄν-
δρες δικασταί, ἀλλ' ἅπερ εἰώθασιν. οὗτοι γὰρ δεινό-
τατοι μέν εἰσι δανείσασθαι χρήματ' ἐν τῷ ἐμπορίῳ,
ἐπειδὰν δὲ λάβωσι καὶ συγγραφὴν συγγράψωνται ναυ-
τικήν, εὐθὺς ἐπελάθοντο καὶ τῶν συγγραφῶν καὶ τῶν
2 νόμων καὶ ὅτι δεῖ ἀποδοῦναι αὐτούς, ἃ ἔλαβον, καὶ
οἴονται, ἐὰν ἀποδῶσιν, ὥσπερ τῶν ἰδίων τι τῶν ἑαυ-
τῶν ἀπολωλεκέναι, ἀλλ' ἀντὶ τοῦ ἀποδοῦναι σοφίσμαθ'
εὑρίσκουσι καὶ παραγραφὰς καὶ προφάσεις, καὶ εἰσὶ
πονηρότατοι ἀνθρώπων καὶ ἀδικώτατοι. τεκμήριον δὲ
τούτου· πολλῶν γὰρ ἀφικνουμένων εἰς τὸ ὑμέτερον
ἐμπόριον καὶ Ἑλλήνων καὶ βαρβάρων, πλείους δίκαι

*εἰσὶν ἑκάστοτ' αὐτῶν τῶν Φασηλιτῶν ἢ τῶν ἄλλων
ἁπάντων. οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν· ἐγὼ δ', ὦ* 3
*ἄνδρες δικασταί, χρήματα δανείσας Ἀρτέμωνι τῷ τού-
του ἀδελφῷ κατὰ τοὺς ἐμπορικοὺς νόμους, εἰς τὸν
Πόντον καὶ πάλιν Ἀθήναζε, τελευτήσαντος ἐκείνου
πρὶν ἀποδοῦναί μοι τὰ χρήματα, Λακρίτῳ τουτῳὶ εἴ-
ληχα τὴν δίκην ταύτην κατὰ τοὺς αὐτοὺς νόμους τού-
τους, καθ' οὕσπερ τὸ συμβόλαιον ἐποιησάμην, ἀδελφῷ* 4
*ὄντι τούτῳ ἐκείνου καὶ ἔχοντι τὰ Ἀρτέμωνος ἅπαντα.
δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, εὐνοϊκῶς ἀκοῦσαί
μου περὶ τοῦ πράγματος τουτουί· κἂν ἐλέγξω αὐτὸν
ἀδικοῦνθ' ἡμᾶς τε τοὺς δανείσαντας καὶ ὑμᾶς οὐδὲν
ἧττον, βοηθεῖθ' ἡμῖν τὰ δίκαια.*

Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, αὐτὸς μὲν οὐδ' ὁπωσ- 5
*τιοῦν ἐγνώριζον τοὺς ἀνθρώπους τούτους· Θρασυμή-
δης δ' ὁ Διοφάντου υἱός, ἐκείνου τοῦ Σφηττίου, καὶ
Μελάνωπος ὁ ἀδελφὸς αὐτοῦ ἐπιτήδειοί μοί εἰσι, καὶ
χρώμεθ' ἀλλήλοις ὡς οἷόν τε μάλιστα. οὗτοι προσ-
ῆλθόν μοι μετὰ Λακρίτου τουτουί, ὁπόθεν δήποτ'
ἐγνωρισμένοι τούτῳ (οὐ γὰρ οἶδα), καὶ ἐδέοντό μου* 6
*δανεῖσαι χρήματ' εἰς τὸν Πόντον Ἀρτέμωνι τῷ τούτου
ἀδελφῷ καὶ Ἀπολλοδώρῳ, ὅπως ἂν ἐνεργοὶ ὦσιν, οὐ-
δὲν εἰδώς, ὦ ἄνδρες δικασταί, οὐδ' ὁ Θρασυμήδης τὴν
τούτων πονηρίαν, ἀλλ' οἰόμενος εἶναι ἐπιεικεῖς ἀνθρώ-
πους καὶ οἷοίπερ προσεποιοῦντο καὶ ἔφασαν εἶναι, καὶ
ἡγούμενος ποιήσειν αὐτοὺς πάνθ', ὅσαπερ ὑπισχνοῦντο
καὶ ἀνεδέχετο Λάκριτος οὑτοσί. πλεῖστον δ' ἄρ' ἦν* 7
*ἐψευσμένος καὶ οὐδὲν ᾔδει, οἵοις θηρίοις ἐπλησίαζε
τοῖς ἀνθρώποις τούτοις. κἀγὼ πεισθεὶς ὑπὸ τοῦ Θρα-
συμήδους καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ Λακρίτου του-
τουὶ ἀναδεχομένου μοι πάντ' ἔσεσθαι τὰ δίκαια παρὰ*

τῶν ἀδελφῶν τῶν αὑτοῦ, ἐδάνεισα μετὰ ξένου τινὸς
8 *ἡμετέρου Καρυστίου τριάκοντα μνᾶς ἀργυρίου. βού-*
λομαι οὖν, ὦ ἄνδρες δικασταί, τῆς συγγραφῆς ἀκοῦσαι
ὑμᾶς πρῶτον, καθ' ἣν ἐδανεισάμεν τὰ χρήματα, καὶ
τῶν μαρτύρων τῶν παραγενομένων τῷ δανείσματι.

ΣΥΓΓΡΑΦΗ. ΜΑΡΤΥΡΙΑΙ.

9 *Κατὰ τὴν συγγραφὴν ταύτην, ὦ ἄνδρες δικασταί,*
ἐδάνεισα τὰ χρήματ' Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ,
κελεύοντος τούτου καὶ ἀναδεχομένου ἅπαντ' ἔσεσθαί
μοι τὰ δίκαια κατὰ τὴν συγγραφήν, καθ' ἣν ἐδάνεισα
τούτου αὐτοῦ γράφοντος καὶ συσσημηναμένου, ἐπειδὴ
ἐγράφη. οἱ μὲν γὰρ ἀδελφοὶ οἱ τούτου ἔτι νεώτεροι
ἦσαν, μειράκια κομιδῇ, οὑτοσὶ δὲ Λάκριτος Φασηλίτης,
10 *μέγα πρᾶγμα, Ἰσοκράτους μαθητής· οὗτος ἦν ὁ πάντα*
διοικῶν καὶ ἑαυτῷ με τὸν νοῦν προσέχειν ἐκέλευεν·
αὐτὸς γὰρ ἔφη ποιήσειν μοι τὰ δίκαι' ἅπαντα καὶ ἐπι-
δημήσειν Ἀθήνησι, τὸν δ' ἀδελφὸν τὸν αὑτοῦ Ἀρτέ-
μωνα πλεύσεσθαι ἐπὶ τοῖς χρήμασι. καὶ τότε μέν, ὦ
ἄνδρες δικασταί, ὅτ' ἐβούλετο τὰ χρήματα λαβεῖν παρ'
ἡμῶν, καὶ ἀδελφὸς ἔφη εἶναι καὶ κοινωνὸς τοῦ Ἀρτέ-
μωνος καὶ λόγους θαυμασίως ὡς πιθανοὺς ἔλεγεν·
11 *ἐπειδὴ δὲ τάχιστ' ἐγκρατεῖς ἐγένοντο τοῦ ἀργυρίου,*
τοῦτο μὲν διενείμαντο καὶ ἐχρῶντο, ὅ τι ἐδόκει τού-
τοις, κατὰ δὲ τὴν συγγραφὴν τὴν ναυτικήν, καθ' ἣν
ἔλαβον τὰ χρήματα, οὔτε μέγα οὔτε μικρὸν ἔπραττον,
ὡς αὐτὸ τὸ ἔργον ἐδήλωσεν.

12 *Πρῶτον μὲν γὰρ γέγραπται, ὅτι ἐπ' οἴνου κερα-*
μίοις τρισχιλίοις ἐδανείσαντο παρ' ἡμῶν τὰς τριάκοντα
μνᾶς, ὡς ὑπαρχούσης αὐτοῖς ὑποθήκης ἑτέρων τριά-
κοντα μνῶν, ὥστ' εἰς τάλαντον ἀργυρίου τὴν τιμὴν

*εἶναι τοῦ οἴνου καθισταμένην, σὺν τοῖς ἀναλώμασιν,
ὅσ' ἔδει ἀναλίσκεσθαι εἰς τὴν κατασκευὴν τὴν περὶ
τὸν οἶνον· τὰ δὲ τρισχίλια ταῦτα κεράμια ἄγεσθαι εἰς
τὸν Πόντον ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος ἐναυκλήρει.
γέγραπται μὲν ταῦτ' ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικα-* 13
*σταί, ἧς ὑμεῖς ἀκηκόατε· οὗτοι δ' ἀντὶ τῶν τρισχιλίων
κεραμίων οὐδὲ πεντακόσια κεράμια εἰς τὸ πλοῖον ἐν-
έθεντο, ἀλλ' ἀντὶ τοῦ ἠγοράσθαι αὐτοῖς τὸν οἶνον,
ὅσον προσῆκε, τοῖς χρήμασιν ἐχρῶντο ὅ τι ἐδόκει τού-
τοις, τὰ δὲ κεράμια τὰ τρισχίλια οὐδ' ἐμέλλησαν οὐδὲ
διενοήθησαν ἐνθέσθαι εἰς τὸ πλοῖον κατὰ τὴν συγ-
γραφήν.*

Περὶ μὲν οὖν τοῦ πλήθους τοῦ οἴνου, ὅσον ἔδει 14
*αὐτοὺς ἐνθέσθαι εἰς τὸ πλοῖον, ταῦτα διεπράξαντο
καὶ ἤρξαντ' εὐθὺς ἐντεῦθεν ἀπὸ τοῦ πρώτου γεγραμ-
μένου παραβαίνειν καὶ μὴ ποιεῖν τὰ γεγραμμένα. μετὰ
δὲ ταῦτ' ἔστιν ἐν τῇ συγγραφῇ, ὅτι ὑποτιθέασι ταῦτ'
ἐλεύθερα καὶ οὐδενὶ οὐδὲν ὀφείλοντες, καὶ ὅτι οὐδ'
ἐπιδανείσονται ἐπὶ τούτοις παρ' οὐδενός. ταῦτα διαρ-* 15
*ρήδην γέγραπται, ὦ ἄνδρες δικασταί. οὗτοι δὲ τί ἐποί-
ησαν; ἀμελήσαντες τῶν γεγραμμένων ἐν τῇ συγγραφῇ
δανείζονται παρά τινος νεανίσκου, ἐξαπατήσαντες ὡς
οὐδενὶ οὐδὲν ὀφείλοντες· καὶ ἡμᾶς τε παρεκρούσαντο
καὶ ἔλαθον δανεισάμενοι ἐπὶ τοῖς ἡμετέροις, ἐκεῖνόν
τε τὸν νεανίσκον τὸν δανείσαντ' ἐξηπάτησαν ὡς ἐπ'
ἐλευθέροις τοῖς χρήμασι δανειζόμενοι· τοιαῦτα τούτων
ἐστὶ τὰ κακουργήματα.*

Γέγραπται δὲ μετὰ ταῦτ' ἐν τῇ συγγραφῇ, ὦ ἄν- 16
*δρες δικασταί, ἐπειδὰν ἀποδῶνται ἐν τῷ Πόντῳ ἃ ἦγον,
πάλιν ἀνταγοράζειν χρήματα καὶ ἀντιφορτίζεσθαι καὶ
ἀπάγειν Ἀθήναζε τὰ ἀντιφορτισθέντα, καὶ ἐπειδὰν*

*ἀφίκωνται Ἀθήναζε, ἀποδοῦναι εἴκοσιν ἡμερῶν τὸ ἀρ-
γύριον ἡμῖν δόκιμον· ἕως δ' ἂν ἀποδῶσι, κρατεῖν τῶν
χρημάτων ἡμᾶς, καὶ ἀνέπαφα παρέχειν τούτους, ἕως
17 ἂν ἀπολάβωμεν. γέγραπται μὲν ταῦθ' οὑτωσὶ ἀκριβῶς
ἐν τῇ συγγραφῇ· οὗτοι δ', ὦ ἄνδρες δικασταί, ἐνταῦθα
καὶ ἐπεδείξαντο μάλιστα τὴν ὕβριν καὶ τὴν ἀναίδειαν
τὴν ἑαυτῶν. οὔτε γὰρ ἀντηγόρασαν οὐδὲν ἐν τῷ Πόντῳ
οὔτ' ἀντεφορτίσαντο, ὥστε ἄγειν Ἀθήναζε· ἡμεῖς τε
οἱ δανείσαντες τὰ χρήματα, ἡκόντων αὐτῶν τούτων ἐκ
τοῦ Πόντου, οὐκ εἴχομεν ὅτου ἐπιλαβοίμεθα οὐδ' ὅτου
κρατοῖμεν, ἕως κομισαίμεθα τὰ ἡμέτερ' αὐτῶν· οὐδ'
ὁτιοῦν γὰρ εἰσήγαγον εἰς τὸν λιμένα τὸν ὑμέτερον
18 οὗτοι. ἀλλὰ πεπόνθαμεν καινότατον, ὦ ἄνδρες δικα-
σταί· ἐν γὰρ τῇ πόλει τῇ ἡμετέρᾳ αὐτῶν, οὐδὲν ἀδι-
κοῦντες οὐδὲ δίκην ὠφληκότες οὐδεμίαν τούτοις, σεσυ-
λήμεθα τὰ ἡμέτερ' αὐτῶν ὑπὸ τούτων Φασηλιτῶν
ὄντων, ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατ'
Ἀθηναίων.*

19 *Ὃ δὲ πάντων δεινότατον διεπράξατο Λάκριτος οὑ-
τοσί, δεῖ ὑμᾶς ἀκοῦσαι· οὗτος γὰρ ἦν ὁ πάντα ταῦτα
διοικῶν. ἐπειδὴ γὰρ ἀφίκοντο δεῦρο, εἰς μὲν τὸ ὑμέ-
τερον ἐμπόριον οὐ καταπλέουσιν, εἰς φωρῶν δὲ λιμέν'
ὁρμίζονται, ὅς ἐστιν ἔξω τῶν σημείων τοῦ ὑμετέρου
ἐμπορίου, καὶ ἔστιν ὅμοιον εἰς φωρῶν λιμέν' ὁρμί-
σασθαι, ὥσπερ ἂν εἴ τις εἰς Αἴγιναν ἢ εἰς Μέγαρ' ὁρ-
μίσαιτο· ἔξεστι γὰρ ἀποπλεῖν ἐκ τοῦ λιμένος τούτου,
20 ὅποι ἄν τις βούληται καὶ ὁπηνίκ' ἂν δοκῇ αὐτῷ. καὶ
τὸ μὲν πλοῖον ὥρμει ἐνταῦθα πλείους ἢ πέντε καὶ
εἴκοσιν ἡμέρας, οὗτοι δὲ περιεπάτουν ἐν τῷ δείγματι
τῷ ὑμετέρῳ, καὶ ἡμεῖς προσιόντες διελεγόμεθα, καὶ
ἐκελεύομεν τούτους ἐπιμελεῖσθαι, ὅπως ἂν ὡς τάχιστ'*

*ἀπολάβωμεν τὰ χρήματα. οὗτοι δ' ὡμολόγουν τε καὶ
ἔλεγον, ὅτι αὐτὰ ταῦτα περαίνοιεν. καὶ ἡμεῖς τούτοις
τε προσῇμεν καὶ ἅμ' ἐπεσκοποῦμεν, εἴ τι ἐξαιροῦνταί
ποθεν ἐκ πλοίου ἢ πεντηκοστεύονται. ἐπειδὴ δ' ἡμέραι* 21
*τ' ἦσαν συχναὶ ἐπιδημοῦσι τούτοις ἡμεῖς τ' οὐδ' ὁτιοῦν
εὑρίσκομεν οὔτ' ἐξῃρημένον οὔτε πεπεντηκοστευμένον
ἐπὶ τῷ ὀνόματι τῷ τούτων, ἐνταῦθ' ἤδη μᾶλλον προσ-
εκείμεθ' ἀπαιτοῦντες. καὶ ἐπειδὴ ἠνωχλοῦμεν αὐτοῖς,
ἀποκρίνεται Λάκριτος, ὅτι οὐκ ἂν οἷοί τ' εἴησαν ἀπο-
δοῦναι, ἀλλ' ἀπόλωλεν ἅπαντα τὰ χρήματα. καὶ ἡμεῖς,
ὦ ἄνδρες δικασταί, ἠγανακτοῦμεν ἐπὶ τοῖς λεγομένοις,
πλέον δ' οὐδὲν ἦν ἀγανακτοῦσιν ἡμῖν· τούτοις γὰρ οὐδ'
ὁτιοῦν ἔμελεν. οὐδὲν δ' ἧττον ἠρωτῶμεν αὐτούς, ὅν-* 22
*τινα τρόπον ἀπολωλότ' εἴη τὰ χρήματα. Λάκριτος δ'
οὑτοσὶ ναυαγῆσαι ἔφη τὸ πλοῖον παραπλέον ἐκ Παν-
τικαπαίου εἰς Θεοδοσίαν, ναυαγήσαντος δὲ τοῦ πλοίου
ἀπολωλέναι τὰ χρήματα τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ, ἃ
ἔτυχεν ἐν τῷ πλοίῳ ἐνόντα· ἐνεῖναι δὲ τάριχός τε καὶ
οἶνον Κῷον καὶ ἄλλ' ἄττα. καὶ ἃ μὲν ἔλεγε, ταῦτ' ἦν·* 23
*ἄξιον δ' ἀκοῦσαι τὴν βδελυρίαν τῶν ἀνθρώπων τούτων
καὶ τὴν ψευδολογίαν. πρός τε γὰρ τὸ πλοῖον τὸ ναυ-
αγῆσαν οὐδὲν ἦν αὐτοῖς συμβόλαιον, ἀλλ' ἦν ἕτερος ὁ
δεδανεικὼς Ἀθήνηθεν ἐπὶ τῷ ναύλῳ τῷ εἰς τὸν Πόν-
τον καὶ ἐπ' αὐτῷ τῷ πλοίῳ, τό τ' οἰνάριον τὸ Κῷον
ὀγδοήκοντα στάμνοι ἐξεστηκότος οἴνου, καὶ τὸ τάριχος
ἀνθρώπῳ τινὶ γεωργῷ παρεκομίζετ' ἐν τῷ πλοίῳ ἐκ
Παντικαπαίου εἰς Θεοδοσίαν, τοῖς ἐργάταις τοῖς περὶ
τὴν γεωργίαν χρῆσθαι. ὑμεῖς δ', ὦ ἄνδρες δικασταί,* 24
*ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτούς, εἴ τινας πώποτ' ἴστε ἢ
ἠκούσατ' οἶνον Ἀθήναζ' ἐκ τοῦ Πόντου κατ' ἐμπορίαν
εἰσαγαγόντας, ἄλλως τε καὶ Κῷον. πᾶν γὰρ δήπου*

τοὐναντίον εἰς τὸν Πόντον ὁ οἶνος εἰσάγεται ἐκ τῶν
τόπων τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου καὶ Κῷ καὶ
Θάσιος καὶ Μενδαῖος καὶ ἐξ ἄλλων πόλεων παντοδαπός·
ἐκ δὲ τοῦ Πόντου ἕτερ᾽ ἐστὶν ἃ εἰσάγεται δεῦρο.
25 *Κατεχόμενος δ᾽ ὑφ᾽ ἡμῶν καὶ ἐλεγχόμενος, εἴ τι*
περιγένοιτο τῶν χρημάτων ἐν τῷ Πόντῳ, ἀπεκρίνατο
Λάκριτος οὑτοσί, ὅτι ἑκατὸν στατῆρες Κυζικηνοὶ περι-
γένοιντο, καὶ τοῦτο τὸ χρυσίον δεδανεικὼς εἴη ἀδελ-
φὸς αὐτοῦ ἐν τῷ Πόντῳ ναυκλήρῳ, τινὶ Φασηλίτῃ,
πολίτῃ καὶ ἐπιτηδείῳ ἑαυτοῦ, καὶ οὐ δύναιτο κομίσα-
σθαι, ἀλλὰ σχεδόν τι ἀπολωλὸς εἴη καὶ τοῦτο. ταῦτ᾽
26 *ἐστὶν ἃ ἔλεγε Λάκριτος οὑτοσί. ἡ δὲ συγγραφὴ οὐ*
ταῦτα λέγει, ὦ ἄνδρες δικασταί· τούτοις δ᾽ εὐθὺς
ἐξ ἀρχῆς οὐδὲν ἐμέλησε τῆς συγγραφῆς ταύτης, ἀλλὰ
τοῖς χρήμασιν ἐχρῶντο τοῖς ἡμετέροις ὥσπερ ἰδίοις
οὖσιν αὐτῶν· οὕτως εἰσὶν οὗτοι κακοῦργοι σοφισταὶ
27 *καὶ ἄδικοι ἄνθρωποι. ἐγὼ δέ, μὰ τὸν Δία τὸν ἄνακτα*
καὶ τοὺς θεοὺς ἅπαντας, οὐδενὶ πώποτ᾽ ἐφθόνησ᾽ οὐδ᾽
ἐπετίμησα, ὦ ἄνδρες δικασταί, εἴ τις βούλεται σοφιστὴς
εἶναι καὶ Ἰσοκράτει ἀργύριον ἀναλίσκειν· μαινοίμην
γὰρ ἄν, εἴ τί μοι τούτων ἐπιμελὲς εἴη. οὐ μέντοι μὰ
Δία οἶμαί γε δεῖν ἀνθρώπους, καταφρονοῦντας καὶ
οἰομένους δεινοὺς εἶναι, ἐφίεσθαι τῶν ἀλλοτρίων οὐδ᾽
ἀφαιρεῖσθαι, τῷ λόγῳ πιστεύοντας· πονηροῦ γὰρ ταῦτά
28 *γ᾽ ἐστὶ σοφιστοῦ καὶ οἰμωξομένου. Λάκριτος δ᾽ οὑτοσί,*
ὦ ἄνδρες δικασταί, οὐ τῷ δικαίῳ πιστεύων εἰσελήλυθε
ταύτην τὴν δίκην, ἀλλ᾽ ἀκριβῶς εἰδὼς τὰ πεπραγμέν᾽
ἑαυτοῖς περὶ τὸ δάνεισμα τοῦτο καὶ ἡγούμενος δεινὸς
εἶναι καὶ ῥαδίως λόγους ποριεῖσθαι περὶ ἀδίκων πραγ-
μάτων, οἴεται παράξειν ὑμᾶς, ὅποι ἂν βούληται. ἐπεὶ
δ᾽ οὖν δεινός ἐστι καὶ πιστεύει τῷ λέγειν καὶ ταῖς

ίαις δραχμαῖς, ἃς δέδωκε τῷ διδασκάλῳ, κελεύσατ' 29
τὸν διδάξαι ὑμᾶς, ἢ ὡς τὰ χρήματ' οὐκ ἔλαβον παρ' ὧν, ἢ ὡς λαβόντες ἀποδεδώκασιν, ἢ ὅτι τὰς ναυτικὰς γγραφὰς οὐ δεῖ κυρίας εἶναι. τούτων ὅ τι βούλεται ισάτω ὑμᾶς· καὶ ἔγωγε καὶ αὐτὸς συγχωρῶ σοφώτον εἶναι τοῦτον, ἐὰν ὑμᾶς πείσῃ τοὺς περὶ τῶν συμλαίων τῶν ἐμπορικῶν δικάζοντας. ἀλλ' εὖ οἶδ', ὅτι οὐν ἂν τούτων οἷός τ' εἴη οὗτος οὔτε διδάξαι οὔτε πεῖσαι.

XV. Navicularius quidam Massiliensis navem suam dolose submergere conatur.

(Dem. XXXII 4—12. cf. fasc. II p. 10.)

De usuris maritimis cf. p. 58; solebat autem in talis actionis condicionibus haec esse, ut creditor pecuniae solutionem emitteret, si navis in itinere naufragio perisset. — Is qui ausam dicit pecuniam mercatori cuidam dederat mutuam a condicione, ut Syracusis Athenas frumentum reportaretur; itebatur autem mercator ille nave Massiliensi.

Ζηνόθεμις οὑτοσί, ὢν ὑπηρέτης Ἡγεστράτου τοῦ 1
ναυκλήρου, ὃν καὐτὸς ἔγραψεν ἐν τῷ ἐγκλήματι, ὡς ἐν τῷ πελάγει ἀπώλετο (πῶς δ', οὐ προσέγραψεν, ἀλλ' ἐγὼ φράσω), ἀδίκημα τοιουτονὶ μετ' ἐκείνου συνεσκευάσατο. χρήματ' ἐν ταῖς Συρακούσαις ἐδανείζεθ' οὗτος κἀκεῖνος. ὡμολόγει δ' ἐκεῖνος μὲν πρὸς τοὺς τούτῳ δανείζοντας, εἴ τις ἔροιτο, ἐνεῖναι σῖτον ἐν τῇ νηὶ τούτῳ πολύν, οὗτος δὲ πρὸς τοὺς ἐκείνῳ, τὸν γόμον οἰκεῖον ἔχειν αὐτὸν τῆς νεώς· ὢν δ' ὁ μὲν ναύκληρος, ὁ δ' ἐπιβάτης, ἐπιστεύοντ' εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον. λαμβάνοντες δὲ τὰ χρήματ' οἴκαδ' ἀπ- 2
έστελλον εἰς τὴν Μασσαλίαν καὶ οὐδὲν εἰς τὴν ναῦν εἰσέφερον. οὐσῶν δὲ τῶν συγγραφῶν, ὥσπερ εἰώθασιν ἅπασαι, σωθείσης τῆς νεὼς ἀποδοῦναι τὰ χρήματα, ἵν' ἀποστερήσαιεν τοὺς δανείσαντας, τὴν ναῦν κατα-

δῦσαι ἐβουλεύσαντο. ὁ μὲν οὖν Ἡγέστρατος, ὡς ἀπὸ
τῆς γῆς ἀπῆραν δυοῖν ἢ τριῶν ἡμερῶν πλοῦν, κατα-
βὰς τῆς νυκτὸς εἰς κοίλην ναῦν διέκοπτε τοῦ πλοίου
τοὔδαφος. οὑτοσὶ δ', ὡς οὐδὲν εἰδώς, ἄνω μετὰ τῶν
ἄλλων ἐπιβατῶν διέτριβεν. ψόφου δὲ γενομένου αἰ-
σθάνονται οἱ ἐν τῷ πλοίῳ, ὅτι κακόν τι ἐν κοίλῃ νηὶ
3 *γίγνεται, καὶ βοηθοῦσι κάτω. ὡς δ' ἡλίσκεθ' ὁ Ἡγέ-*
στρατος καὶ δίκην δώσειν ὑπελάμβανε, φεύγει καὶ ἐκ-
διωκόμενος ῥίπτει αὑτὸν εἰς τὴν θάλατταν, διαμαρτὼν
δὲ τοῦ λέμβου διὰ τὸ νύκτ' εἶναι ἀπεπνίγη. ἐκεῖνος
μὲν οὖν οὕτως, ὥσπερ ἄξιος ἦν, κακὸς κακῶς ἀπώλετο,
ἃ τοὺς ἄλλους ἐπεβούλευσε ποιῆσαι, ταῦτα παθὼν αὐτός.
4 *οὑτοσὶ δ', ὁ κοινωνὸς αὐτοῦ καὶ συνεργός, τὸ μὲν*
πρῶτον, ὡς οὐδὲν εἰδὼς ἀλλ' ἐκπεπληγμένος καὶ αὐτός,
ἔπειθε τὸν πρῳρέα καὶ τοὺς ναύτας εἰς τὸν λέμβον ἐκ-
βαίνειν καὶ ἐκλείπειν τὴν ναῦν τὴν ταχίστην, ὡς ἀνελ-
πίστου τῆς σωτηρίας οὔσης καὶ καταδυσομένης τῆς νεὼς
αὐτίκα μάλα, ἵν', ὅπερ διενοήθησαν, τοῦτ' ἐπιτελεσθείη
καὶ ἡ ναῦς ἀπόλοιτο καὶ τὰ συμβόλαι' ἀποστερήσαιεν.
5 *ἀποτυχὼν δὲ τούτου, καὶ τοῦ παρ' ἡμῶν ἐμπλέοντος*
ἐναντιωθέντος καὶ τοῖς ναύταις μισθούς, εἰ διασώσαιεν
τὴν ναῦν, μεγάλους ἐπαγγειλαμένου, σωθείσης εἰς Κε-
φαλληνίαν τῆς νεὼς διὰ τοὺς θεοὺς μάλιστά γε, εἶτα
καὶ διὰ τὴν τῶν ναυτῶν ἀρετήν, πάλιν μετὰ τῶν Μασ-
σαλιωτῶν τῶν τοῦ Ἡγεστράτου πολιτῶν μὴ καταπλεῖν
Ἀθήναζε τὸ πλοῖον ἔπραττε, λέγων ὡς αὐτός τε καὶ τὰ
χρήματ' ἐκεῖθέν ἐστι [sc. ex agro Massiliensi] *καὶ ὁ ναύ-*
6 *κληρος εἴη καὶ οἱ δεδανεικότες Μασσαλιῶται. ἀποτυ-*
χὼν δὲ καὶ τούτου, καὶ τῶν ἀρχόντων τῶν ἐν τῇ
Κεφαλληνίᾳ γνόντων Ἀθήναζε τὴν ναῦν καταπλεῖν,
ὅθενπερ ἀνήχθη, ὃν οὐδ' ἂν εἷς ἐλθεῖν ᾤετο δεῦρο

*τολμῆσαι τοιαῦτά γ' ἐσκευωρημένον καὶ πεποιηκότα, οὗ-
τος, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον ὑπερβέβληκεν ἀναι-
δείᾳ καὶ τόλμῃ, ὥστ' οὐκ ἐλήλυθε μόνον, ἀλλὰ καὶ τοῦ σί-
του τοῦ ἡμετέρου ἀμφισβητήσας ἡμῖν δίκην προσείληχεν.*

Τί οὖν ποτ' ἐστὶ τὸ αἴτιον, καὶ τῷ ποτ' ἐπηρμένος 7
*οὗτος καὶ ἐλήλυθε καὶ τὴν δίκην εἴληχεν; ἐγὼ ὑμῖν
ἐρῶ, ἄνδρες δικασταί, ἀχθόμενος μὲν νὴ τὸν Δία καὶ
θεούς, ἀναγκαζόμενος δέ. ἔστιν ἐργαστήρια μοχθηρῶν
ἀνθρώπων συνεστηκότων ἐν τῷ Πειραιεῖ· οὓς οὐδ'
ὑμεῖς ἀγνοήσαιτ' ἂν ἰδόντες. ἐκ τούτων ἕν', ἡνίχ'* 8
*οὗτος ἔπραττεν, ὅπως ἡ ναῦς μὴ καταπλεύσεται δεῦρο,
πρεσβευτὴν ἐκ βουλῆς τινα λαμβάνομεν γνώριμον οὑ-
τωσί, ὅ τι δ' ἦν οὐκ εἰδότες, ἀτύχημ' οὐδὲν ἔλαττον,
εἰ οἷόν τ' εἰπεῖν, ἀτυχήσαντες, ἢ τὸ ἐξ ἀρχῆς πονηροῖς
ἀνθρώποις συμμεῖξαι. οὗτος ὁ πεμφθεὶς ὑφ' ἡμῶν,
Ἀριστοφῶν ὄνομ' αὐτῷ, ἠργολάβηκεν αὐτὸς καὶ κατ-
επήγγελται τουτῳί, καὶ ὅλως ἐστὶν ὁ πάντα πράττων
οὗτος· ὁδὶ δ' ἄσμενος δέδεκται ταῦτα. ὡς γὰρ διή-* 9
*μαρτε τοῦ διαφθαρῆναι τὸ πλοῖον, οὐκ ἔχων ἀποδοῦναι
τὰ χρήματα τοῖς δανείσασι (πῶς γάρ, ἅ γ' ἐξ ἀρχῆς
μὴ ἐνέθετο;) ἀντιποιεῖται τῶν ἡμετέρων καί φησι
τῷ Ἡγεστράτῳ ἐπὶ τούτῳ τῷ σίτῳ δεδανεικέναι,
ὃν ὁ παρ' ἡμῶν ἐπιπλέων ἐπρίατο. οἱ δὲ δανεισταὶ
τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν
χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δ' οὐδέν,
ἐλπίδ' ἔχοντες ὑπὸ τούτου παρακρουσθέντων ὑμῶν ἐκ
τῶν ἡμετέρων ἀπολήψεσθαι τὰ ἑαυτῶν, ὃν ἴσασι ψευ-
δόμενον ταῦτα καθ' ἡμῶν, τούτῳ συνδικεῖν ἀναγκά-
ζονται τοῦ συμφέροντος ἕνεκα τοῦ ἑαυτῶν.*

(In eis quae secuntur ceterae referuntur artes, quibus usus est Zenothemis, ut frumentum sibi vindicaret.)

Inscriptionum exemplum (cf. fasc. IV p. 69).

4. I. G. A. 395 [a] (Dittenberger 877). Leges Iulietarum (insulae Cei) de cura defunctorum, quibuscum conferantur atticae ap. Plut. Sol. 21 *ἐναγίζειν δὲ βοῦν οὐκ εἴασεν ὁ Σόλων*) *οὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν οὐδ' ἐπ' ἀλλότρια μνήματα βαδίζειν χωρὶς ἐκκομιδῆς* —, ap. [Dem.] XLIII 63 *οὐκ ἐᾷ εἰσιέναι, οὗ ἂν ᾖ ὁ τετελευτηκώς, οὐδεμίαν γυναῖκα ἄλλην ἢ τὰς προσηκούσας μέχρι ἀνεψιότητος, καὶ πρὸς τὸ μνῆμα ἀκολουθεῖν τὰς αὐτὰς ταύτας.*

Οἵδε νόμοι περὶ τῶγ καταφθιμένων· κατὰ τάδε θάπτειν τὸν θανόντα· ἐν εἱματίοις τρισὶ λευκοῖς, στρώματι καὶ ἐνδύματι καὶ ἐπιβλήματι — ἐξεῖναι δὲ καὶ ἐν ἐλάσσοσι — μὴ πλέονος ἀξίοις τοῖς τρισὶ ἑκατὸν δραχμέων. ἐχφέρειν δὲ ἐγ κλίνῃ σφηνόποδι καὶ μὴ καλύπτειν, τὰ δ' ὁλοσχερέα τοῖς εἱματίοις. φέρειν δὲ οἶνον ἐπὶ τὸ σῆμα μὴ πλέον τριῶν χῶν καὶ ἔλαιον μὴ πλέον ἑνός, τὰ δὲ ἀγγεῖα ἀποφέρεσθαι. τὸν θανόντα δὲ φέρειν κατακεκαλυμμένον σιωπῇ μέχρι ἐπὶ τὸ σῆμα. προσφαγίῳ χρῆσθαι κατὰ τὰ πάτρια. τὴγ κλίνην ἀπὸ τοῦ σήματος καὶ τὰ στρώματα ἐσφέρειν ἐνδόσε. τῇ δὲ ὑστεραίῃ διαρραίνειν τὴν οἰκίην ἐλεύθερον θαλάσσῃ πρῶτον, ἔπειτα ἀλυκωτῷ ὄξεϊ, τηλοῦ στάντα· ἐπὴν δὲ διαρανθῇ, καθαρὴν εἶναι τὴν οἰκίην καὶ θύη θύειν ἐφίστια. τὰς γυναῖκας τὰς ἰούσας ἐπὶ τὸ κῆδος ἀπιέναι προτέρας τῶν ἀνδρῶν ἀπὸ τοῦ σήματος. ἐπὶ τῷ θανόντι τριηκόστια μὴ ποιεῖν. μὴ ὑποτιθέναι κύλικα ὑπὸ τὴγ κλίνην μηδὲ τὸ ὕδωρ ἐκχεῖν μηδὲ τὰ καλλύσματα φέρειν ἐπὶ τὸ σῆμα ὅπου ἂν θάνῃ, ἐπὴν ἐξενεχθῇ, μὴ ἰέναι γυναῖκας πρὸς τὴν οἰκίην ἄλλας ἢ τὰς μιαινομένας. μιαίνεσθαι δὲ μητέρα καὶ γυναῖκα καὶ ἀδελφεὰς καὶ θυγατέρας, πρὸς δὲ ταύταις μὴ πλέον πέντε γυναικῶν, παῖδας δὲ [ἄχρι] υἱ[έων τῶν ἀ]νεψιῶν, ἄλλον δὲ μηδένα. τοὺς μιαινομένους λουσαμένους πάντα τὸν χρῶτα ὕδατος χύσι καθαροὺς εἶναι - — —

Epigrammata sepulcralia.

1. *Πότνια Σωφροσύνη, θύγατερ μεγαλόφρονος Αἰδοῦς,*
πλεῖστα σὲ τιμήσας εὐπόλεμόν τ' Ἀρετὴν
Κλείδημος Μελιτεὺς Κλειδημίδου ἐνθάδε κεῖται.
(*In lapide Athenis invento. Kaibel. epigr.* 34.)

2. *Χαιρεστράτη Μενεκράτους Ἰκαριέως* (*Magnae Matris sacerdos*).
Μητρὸς παντοτέκνου πρόπολος σεμνή τε γεραιρά
τῷδε τάφῳ κεῖται Χαιρεστράτη, ἣν ὁ σύνευνος
ἔστερξεν μὲν ζῶσαν, ἐπένθησεν δὲ θανοῦσαν·
φῶς δ' ἔλιπ' εὐδαίμων παῖδας παίδων ἐπιδοῦσα.
(*Ex Piraeo. Kaibel. epigr.* 44.)

3. *Εὐρυμάχου ψυχὴν καὶ ὑπερφιάλους διανοίας*
αἰθὴρ ὑγρὸς ἔχει, σῶμα δὲ τύμβος ὅδε.
(*Ex Piraeo. Kaibel epigr.* 45.)